1039



ΒΙΒΛΙΟΝ
ΑΝΔΡΕΟΥ
ΜΙΧΑΛΟΠΟΥΛΟΥ

# ὉΜΗΡΟΥ

# ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

## ΣΥΝ ΤΗΙ ΜΕΤΑΦΡΑΣΕΙ

FLORENTIAE ET LIPSIAE 1804.
PROSTAT APUD PAULLUM GOTTHELF KUMMER.

# GRAECARUM LITTERARUM STUDIOSIS

FRANCISCUS FONTANI

BIBLIOTHECAE RICCARDIANAE

QUAE

FLORENTIAE EST PRAEFECTUS

εὐχαίρειν.

Permultis iamdiu erat in votis, ut quis patiens laboris, atque Homeri gloriae minime invidens, ex Graeco, praeſtantiſſimoque Codice Saec. xv. diligentiſſime exſcripto Poetae illius Iliadem perpetua Metaphraſi interlineari inluſtratam, ut fertur, a Theodoro Gazza in lucem proferret, frigida ſuffundens hac ratione eos minime cordatos homines, qui in Poeta interpretando ab vero ſaepius abludunt, et quae ipſi non aſſequuntur, inepte reprehendunt.

Huiusmodi Codex membranaceus eſt, et maximae, ut aiunt, formae, Francisco Philelpho inſcriptus a Gazza, nigro rubroque charactere perpetuo ſcriptus. De eo non ſemel verba fecit Beſſarion in ſuis Epiſtolis, ſaepiusque eiusmodi ἀπόγραφον efflagitavit a Philelpho ipſo, inhians eo potiri, cupiensque ſuae ipſius Bibliothecae decori indulgere. Spes eius tamen ſemper fruſtrata eſt, ac ſingulare huiusmodi monumentum in Florentina Medic. Laurentiana adhuc ſervatur incolume in Pluteo xxxii. N°. 1.

Praeter Iliadem Βατραχομυομαχίαν, ſeu Ranarum et Murium pugnam, codex ipſe in limine exhibet legendam, pleniorem ſane quam alii codices, atque editiones, nec excepta ea, quam Cl. Muïttere Londini curavit cum Graeca pariter metaphraſi.

Ne quid itaque pro mea virili parte invidere videar doctorum hominum deſiderio, atque Iuvenum utilitati, veluti ſpecimen huiusce Gazzae laboris, in vulgus emitto Βατραχομυομαχίαν, ea prorſus ratione, qua in memorato codice ſeſe habet; nefas enim duxi quidquam immutare, vel imminuere. Mens erat huic operi prolegomena, quae iam ſunt in promptu, variantes lectiones, et animadverſiones adiicere, ut cuique ſatis innoteſceret, quid in tota Iliade edenda me facturum ſponderem: verum cum mihi parcendum fuerit expenſis, in ea enim tempeſtate vivo, in qua Bibliopolae, Italique Typographi in id unum intendunt, ne apes ſibi mellificent, neve ſibi vellera ferant oves, ſatius duxi ſpecimen ipſum, uti habetur in codice, nullo externo adiumento ſuffultum, praebere, ſperans quod erit forte, qui mihi currenti ſtimulum adhibeat, et publicae ſtudiorum utilitati proſpiciens, ut arreptum opus perficiam, atque alacri animo allaborem, me volentem urgeat, cum rei agendae momentum omne perpenderit.

*Dabam Florentiae ex meo Muſeo Nonis Iuniis An.* 1803.

# ὉΜΗΡΟΥ
## ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ
## ΣΥΝ ΤΗι ΜΕΤΑΦΡΑΣΕΙ

ΑΡΧΟΜΕΝΟΣ ΠΡΩΤΩΣ, ΜΟΥΣΩΝ ΧΟΡΟΝ ΕΞ ἙΛΙΚΩΝΟΣ
Ἀρχὴν τήνδε ποιούμενος, προηγυμένως τὸν τῶν Μουσῶν σύλλογον ἐκ τῦ Ἑλικῶνος
ΕΛΘΕΙΝ ΕΙΣ ΕΜΟΝ ΗΤΟΡ ΕΠΕΥΧΟΜΑΙ, ἙΙΝΕΚ᾽ ΑΟΙΔΗΣ·
Ἀφικέσθαι εἰς τὴν ἐμὴν ψύχην εὔχομαι, χάριν ᾠδῆς καὶ ἐμμελέιας ποιητικῆς·
ἫΝ ΝΕΟΝ ΕΝ ΔΕΛΤΟΙΣΙΝ ΕΜΟΙΣ ΕΠΙ ΓΟΥΝΑΣΙ ΘΗΚΑ
Ἥν νεωστὶ ἐν πινακιδίοις καὶ χάρταις ἐπὶ τοῖς ἐμοῖς γόνασιν ἔθηκα
ΔΗΡΙΝ ΑΠΕΙΡΕΣΙΗΝ, ΠΟΛΕΜΟΚΛΟΝΟΝ ΕΡΓΟΝ ΑΡΗΟΣ,
Μάχην ἄπειρον, καὶ πλέστην ἔργον πολυτάραχον πολέμου,
ΕΥΧΟΜΕΝΟΣ ΜΕΡΟΠΕΣΣΙΝ ΕΣ ΟΥΑΤΑ ΠΑΣΙ ΒΑΛΕΣΘΑΙ·
Δεόμενος εἰς τὰ ὦτα πάντων ἀνθρωπῶν ἐμβαλλεῖν·
ΠΩΣ ΜΥΕΣ ΕΝ ΒΑΤΡΑΧΟΙΣΙΝ ΑΡΙΣΤΕΥΣΑΝΤΕΣ ΕΒΗΣΑΝ,
Κατά τινα τρόπον οἱ μῦες κατὰ βατράχων ἀνδραγαθήσαντες ἀπήλλαξαν,
ΓΗΓΕΝΕΩΝ ΑΝΔΡΩΝ ΜΙΜΟΥΜΕΝΟΙ ΕΡΓΑ ΓΙΓΑΝΤΩΝ,
Τὰς τῶν ἐκ γῆς γεννηθέντων ἀνδρῶν γιγάντων πράξεις μιμούμενοι,
ὩΣ ΛΟΓΟΣ ΕΝ ΘΝΗΤΟΙΣΙΝ ΕΗΝ· ΤΟΙΗΝ Δ᾽ΕΧΕΝ ΑΡΧΗΝ.
Ὥσπερ ἐν τοῖς ἀνθρώποις λογὸς ἐστι, τοιαύτην ἀρχὴν εἶχεν ἡ μάχη.
ΜΥΣ ΠΟΤΕ ΔΙΨΑΛΕΟΣ, ΓΑΛΕΗΣ ΚΙΝΔΥΝΟΝ ΑΛΥΞΑΣ,
Μῦς ποτε ὑπερδιψῶν γαλῆς κίνδυνον διαφυγὼν, καὶ διασωθεὶς,
ΠΛΗΣΙΟΝ ΕΝ ΛΙΜΝΗι ΠΙΝΩΝ ΠΑΡΕΘΗΚΕ ΓΕΝΕΙΟΝ,
Πλησίον ἐν λίμνῃ πίνων ἐνέβαλε τὴν σιαγόνα,

ΫΔΑΤΙ ΤΕΡΠΟΜΕΝΟΣ ΜΕΛΙΗΔΕΪ, ΤΟΝ ΔΕ ΚΑΤΕΙΔΕ
*Ύ'δατι εὐφραινόμενος ἡδεῖ ϗ χαρίεντι· τοῦτον δὲ ἐθεάσατο*
ΛΙΜΝΟΧΑΡΙΣ ΠΟΛΥΦΗΜΟΣ, ΕΠΟΣ Δ'ΕΦΘΕΓΞΑΤΟ ΤΟΙΟΝ.
*Ὁ κατὰ λίμνην χαίρων πολύφημος, λόγον δ' εἶπε τοιοῦτον.*
ΞΕΙΝΕ, ΤΙΣ ΕΙ; ΠΟΘΕΝ ΗΛΘΕΣ ΕΠ' ΗΙΟΝΑ; ΤΙΣ ΔΕ Σ'Ο' ΦΥΣΑΣ;
*Ω῏ φίλε, τὶς εἶ; πόθεν ἐλήλυθας ἐπὶ τὸν αἰγιαλὸν; τίς δ' ἐστὶν ὁ γεννήσας σε,*
ΠΑΝΤΑ Δ' ΑΛΗΘΕΥΣΟΝ, ΜΗ ΨΕΥΔΟΜΕΝΟΝ ΣΕ ΝΟΗΣΩ.
*Πάντα δὲ ἀληθῶς εἰπὲ, ϗ ὅπως μὴ ψεύδεα λέγοντά σε ἐννοήσω.*
ΕΙ ΓΑΡ ΣΕ ΓΝΟΙΗΝ ΦΙΛΟΝ ΑΞΙΟΝ, ΕΣ ΔΟΜΟΝ ΑΞΩ,
*Εἰ γάρ σε κατανοήσω φιλίας ἄξιον, εἰς τὸν οἶκον σε ἄξω,*
ΔΩΡΑ ΔΕ ΤΟΙ ΔΩΣΩ ΞΕΙΝΗΙΑ ΠΟΛΛΑ, ΚΑΙ ΕΣΘΛΑ.
*Χάριτας δέ σοι δωρήσομαι ξενίας, ϗ φιλίας πολλάς τε ϗ ἀγαθάς.*
ΕΙΜΙ Δ'ΕΓΩ ΒΑΣΙΛΕΥΣ ΦΥΣΙΓΝΑΘΟΣ, ΟΣ ΚΑΤΑ ΛΙΜΝΗΝ
*Εἰμὶ δὲ ἐγὼ Φυσίγναθος ὁ βασιλεὺς, ὃς κατὰ τήνδε τὴν λίμνην*
ΤΙΜΩΜ' ΕΝ ΒΑΤΡΑΧΟΙΣ, ΗΓΟΥΜΕΝΟΣ ΗΜΑΤΑ ΠΑΝΤΑ.
*Τιμῶν ἀξιοῦμαι, ἐν τοῖς βατράχοις ἡγεμονεύων πάσας τάς ἡμέρας.*
ΚΑΙ ΜΕ ΠΑΤΗΡ ΠΗΛΕΥΣ ΑΝΕΘΡΕΨΑΤΟ, ΫΔΡΟΜΕΔΟΥΣΗι
*Καί με Πηλεὺς πατὴρ ἀνέθρεψεν, Ὑ'δρομεδούσῃ*
ΜΙΧΘΕΙΣ ΕΝ ΦΙΛΟΤΗΤΙ ΠΑΡ' ΟΧΘΑΣ ΗΡΙΔΑΝΟΙΟ.
*Μιγεὶς, ϗ συνδυασθεὶς ἐν ἐπιθυμίᾳ παρὰ ταῖς ὄχθαις τȣ̃ Ἠ'ριδανȣ̃ ποταμȣ̃.*
ΚΑΙ ΣΕ Δ'ΟΡΩ ΚΑΛΟΝ ΤΕ ΚΑΙ ΑΛΚΙΜΟΝ, ΕΞΟΧΟΝ ΑΛΛΩΝ
*Καὶ δὴ καί σε βλέπω εὐειδῆ τε, ϗ ἰσχυρὸν διαφερόντως τῶν ἄλλων,*
ΣΚΗΠΤΟΥΧΟΝ ΒΑΣΙΛΗΑ, ΚΑΙ ΕΝ ΠΟΛΕΜΟΙΣΙ ΜΑΧΗΤΗΝ
*Σκηπτοφόρον βασιλέα, ϗ ἐν τοῖς πολέμοις πολεμιστὴν*
ΕΜΜΕΝΑΙ· ΑΛΛ' ΑΓΕ ΘΑΣΣΟΝ ΕΗΝ ΓΕΝΕΗΝ ΑΓΟΡΕΥΕ.
*Εἶναι· ἀλλά γε τάχιον λέγε τὴν σαυτοῦ γενεάν.*
ΤΟΝ Δ' ΑΥ ΨΙΧΑΡΠΑΞ ΗΜΕΙΒΕΤΟ, ΦΩΝΗΣΕΝ ΤΕ·
*Πρὸς τοῦτον δὲ ὁ Ψιχάρπαξ ἀπεκρίνετο, ϗ εἶπεν·*
ΤΙΠΤΕ ΓΕΝΟΣ ΤΟΥΜΟΝ ΖΗΤΕΙΣ, ΦΙΛΕ, ΔΗΛΟΝ ΑΠΑΣΙΝ
*Τὶ δή ποτε τὸ ἐμὸν γένος ἐξαιτάζεις, ὦ φίλε, φανερόν ἐστιν ἅπασι*
ΑΝΘΡΩΠΟΙΣ ΤΕ, ΘΕΟΙΣ ΤΕ, ΚΑΙ ΟΥΡΑΝΙΟΙΣ ΠΕΤΕΗΝΟΙΣ;
*Τοῖς τε ἀνθρώποις, ϗ τοῖς Θεοῖς, ϗ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ;*

ΨΙΧΑΡΠΑΞ ΜΕΝ ΕΓΩ ΚΙΚΛΗΣΚΟΜΑΙ, ΕΙΜΙ ΔΕ ΚΟΥΡΟΣ
*Ψιχάρπαξ μὲν ἐγὼ ὀνομάζομαι, εἰμὶ δὲ υἱὸς*
ΤΡΩΞΑΡΤΑΟ ΠΑΤΡΟΣ ΜΕΓΑΛΗΤΟΡΟΣ· Ἡ ΔΕ ΝΥ ΜΗΤΗΡ
*Τρωξάρτου πατρὸς μεγαλοψύχου, ϗ γενναίου, ἡ δέ γε μήτηρ ἐςὶ*
ΛΕΙΧΟΜΥΛΗ, ΘΥΓΑΤΗΡ ΠΤΕΡΝΟΤΡΩΚΤΟΥ ΒΑΣΙΛΗΟΣ.
*Λειχομύλη, ἡ θυγάτηρ τοῦ βασιλέως Πτερνοτρώκτου.*
ΓΕΙΝΑΤΟ Δ' ΕΝ ΚΑΛΥΒΗι ΜΕ, ΚΑΙ ΕΞΕΘΡΕΨΑΤΟ ΒΡΩΤΟΙΣ
*Ἔτεκε δέ με ἐν καλύβῃ, ϗ ἔθρεψέ με ἐν τοῖς μάλιστα βρωσίμοις*
ΣΥΚΟΙΣ, ΚΑΙ ΚΑΡΥΟΙΣ, ΚΑΙ ΕΔΕΣΜΑΣΙ ΠΑΝΤΟΔΑΠΟΙΣΙ.
*Σύκοις τε, καρύοις τε, ϗ ὄψοις παντοίοις.*
ΠΩΣ ΔΕ ΦΙΛΟΝ ΠΟΙΗι ΜΕ, ΤΟΝ ΕΙΣ ΦΥΣΙΝ ΟΥΔΕΝ ὉΜΟΙΟΝ;
*Τίνα δὲ τρόπον ποιεῖς φίλον ἐμὲ, τὸν κατὰ φύσιν μὴ ὄντα σοι ὅμοιον;*
ΣΟΙ ΜΕΝ ΓΑΡ ΒΙΟΣ ΕΣΤΙΝ ΕΝ ὙΔΑΣΙΝ, ΑΥΤΑΡ ΕΜΟΙΓΕ
*Σοὶ μὲν γὰρ ὁ βίος ἐστιν ἐν τῷ ὕδατι· ἐμοὶ δὲ*
ὉΣΣΑ ΠΑΡ' ΑΝΘΡΩΠΟΙΣ ΤΡΩΓΕΙΝ ΕΘΟΣ· ΟΥΔΕ ΜΕ ΛΗΘΕΙ
*Ἔθος ἐσθίειν ὅσα παρὰ τοῖς ἀνθρώποις τυγχάνει· οὐ γάρ με λανθάνει*
ΑΡΤΟΣ ΤΡΙΣΚΟΠΑΝΙΣΤΟΣ ΑΠ' ΕΥΚΥΚΛΟΥ ΚΑΝΕΟΙΟ,
*Ἄρτος πολυκοπάνιστος ἀπὸ κυκλοτεροῦς πινακίου,*
ΟΥΔΕ ΠΛΑΚΟΥΣ ΤΑΝΥΠΕΠΛΟΣ ΕΧΩΝ ΠΟΛΥ ΣΗΣΑΜΟΤΥΡΟΝ,
*Οὔτε πέμμα εὐρύπλαστον ἔχων πολλὴν σισαμίδα, ϗ τυρὸν τετριμμένον,*
ΟΥ ΤΟΜΟΣ ΕΚ ΠΤΕΡΝΗΣ, ΟΥΧ' ἩΠΑΤΑ ΛΕΥΚΟΧΙΤΩΝΑ,
*Οὐ τμήματα ἐκ κοπιδίου, οὐχ' ἥπατα λίπος λευκὸν οἷον χιτῶνα περιβεβλημένα,*
ΟΥΔΕ ΤΥΡΟΣ ΝΕΟΠΗΚΤΟΣ ΑΠΟ ΓΛΥΚΕΡΟΙΟ ΓΑΛΑΚΤΟΣ,
*Οὐ τυρὸς νεωςὶ πεπηγμένος ἀπὸ γλυκέως γάλακτος,*
ΟΥ ΧΡΗΣΤΟΝ ΜΕΛΙΤΩΜΑ, ΤΟ ΚΑΙ ΜΑΚΑΡΕΣ ΠΟΘΕΟΥΣΙΝ,
*Οὐ μελίτωμα ἀγαθὸν, ὃ δὴ ϗ αὐτοὶ οἱ Θεοὶ ποθοῦσιν,*
ΟΥΔ' ὉΣΑ ΠΡΟΣ ΘΟΙΝΗΝ ΜΕΡΟΠΩΝ ΤΕΥΧΟΥΣΙ ΜΑΓΕΙΡΟΙ,
*Οὐδὲ ὅσα πρὸς εὐωχίαν ἀνθρώπων κατασκευάζουσι οἱ μάγειροι*
ΚΟΣΜΟΥΝΤΕΣ ΧΥΤΡΑΣ ΑΡΤΥΜΑΣΙ ΠΑΝΤΟΔΑΠΟΙΣΙΝ.
*Σκευάζοντες, ϗ ἀρτύοντες τὰς χύτρας ἡδύσματι παντοίοις.*
ΟΥ ΤΡΩΓΩ ΡΑΦΑΝΑΣ, ΟΥ ΚΡΑΜΒΑΣ, ΟΥ ΚΟΛΟΚΥΝΤΑΣ,
*Οὐκ ἐσθίω μὲν ῥαφάνιδας, οὐ κράμβας, οὐ κολοκύντας,*

ΟΥΔΕ ΠΡΑΣΟΙΣ ΧΛΩΡΟΙΣ ΕΠΙΒΟΣΚΟΜΑΙ, ΟΥΔΕ ΣΕΛΙΝΟΙΣ·
Οὐδ' ἐν πρασσοῖς χλωροῖς βόσκομαι, οὐδ' ἐν σελίνοις·
ΤΑΥΤΑ ΓΑΡ ΥΜΕΤΕΡ' ΕΣΤΙΝ ΕΔΕΣΜΑΤΑ ΤΩΝ ΚΑΤΑ ΛΙΜΝΗΝ.
Ταῦτα γὰρ ὑμέτερα ὄψα ἐστι τῶν κατὰ λίμνην ἀναστρεφομένων.
ΟΥΔΕ ΠΟΤ' ΕΚ ΠΟΛΕΜΟΙΟ ΚΑΚΗΝ ΑΠΕΦΥΓΟΝ ΑΫΤΗΝ,
Οὐδὲ πώποτε δειλιάσας ἀπέφυγον τὴν κακὴν βοὴν τοῦ πολέμου,
ΑΛΛ' ΕΥΘΥΣ ΜΕΤΑ ΜΩΛΟΝ ΙΩΝ ΠΡΟΜΑΧΟΙΣΙΝ ΕΜΙΧΘΗΝ.
Ἀλλὰ παραχρῆμα ἐπὶ τὴν συμπλοκὴν ἀφικόμενος τοῖς πρωταγωνισταῖς συνέμιξα.
ΑΝΘΡΩΠΟΝ ΟΥ ΔΕΔΙΑ, ΚΑΙΠΕΡ ΣΩΜΑ ΜΕΓΑ ΦΟΡΟΥΝΤΑ,
Ἄνθρωπον οὐ φοβοῦμαι, κἀνταῦθα σῶμα μέγα ἔχοντα,
ΑΛΛ' ΕΠΙ ΛΕΚΤΡΟΝ ΙΩΝ, ΑΚΡΟΝ ΔΑΚΤΥΛΟΝ ΚΑΤΑΔΑΚΝΩ,
Ἀλλ' ἐπὶ τὴν κλίνην ἐρχόμενος τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ δάκνω,
ΚΑΙ ΠΤΕΡΝΗΣ ΛΑΒΟΜΗΝ, ΚΑΙ ΟΥ ΠΟΝΟΣ ΙΚΑΝΕΝ ΑΝΔΡΑ·
Καὶ τῆς τοῦ ποδὸς πτέρνης ἐλαβόμην τῷ στόματι, καὶ ὀδύνη οὐ κατέλαβε τὸν ἄνδρα,
ΝΗΔΥΜΟΣ ΟΥΚ ΑΠΕΦΥΓΕΝ ΥΠΝΟΣ, ΔΑΚΝΟΝΤΟΣ ΕΜΕΙΟ.
Οὐδ' ὁ ἡδὺς καὶ δυσαπάλλακτος ὕπνος ἀπέστη, δάκνοντος ἐμοῦ.
ΑΛΛΑ ΔΥΩ ΜΑΛΑ ΠΑΝΤΑ ΤΑ ΔΕΙΔΙΑ ΠΑΣΑΝ ΕΠ' ΑΙΑΝ,
Ἀλλὰ δύο πάντα ταῦτα φοβοῦμαι κατὰ πᾶσαν τὴν γῆν,
ΚΙΡΚΟΝ ΚΑΙ ΓΑΛΕΗΝ, ΟΙ ΜΟΙ ΜΕΓΑ ΠΕΝΘΟΣ ΑΓΟΥΣΙ,
Ἱέρακα καὶ Γαλὴν, οἵ μοι μεγάλην συμφορὰν ἐπιφέρουσιν,
ΚΑΙ ΠΑΓΙΔΑ ΣΤΟΝΟΕΣΣΑΝ, ΟΠΟΥ ΔΟΛΟΕΙΣ ΠΕΛΕ ΠΟΤΜΟΣ.
Καὶ παγίδα, τῶν πολλῶν στεναγμῶν αἰτίαν, ἔνθα ὁ ἀπατεὼν καὶ ἐπίκρυπτος θάνατός ἐστι.
ΠΛΕΙΣΤΟΝ ΔΗ ΓΑΛΕΗΝ ΠΕΡΙΔΕΙΔΙΑ ΗΤΙΣ ΑΡΙΣΤΗ,
Μάλιστα δὲ τὴν Γαλὴν δέδοικα, ἥ τις βελτίστη ἐστὶν,
Η ΚΑΙ ΤΡΩΓΛΟΔΥΝΟΝΤΑ ΚΑΤΑ ΤΡΩΓΛΗΝ ΕΡΕΕΙΝΕΙ.
Ἣ δή με καὶ εἰς τὴν μυωξίαν εἰσερχόμενον κατ' αὐτὴν ἔτι τὴν μυωξίαν ἐπιζητεῖ λαβεῖν.
ΠΡΟΣ ΤΑΔΕ ΜΕΙΔΗΣΑΣ ΦΥΣΙΓΝΑΘΟΣ ΑΝΤΙΟΝ ΗΥΔΑ·
Πρὸς ταῦτα δὲ ἐπιγελάσας ὁ Φυσίγναθος ἐναντίον ἔλεγεν·
ΞΕΙΝΕ, ΛΙΑΝ ΑΥΧΕΙΣ ΕΠΙ ΓΑΣΤΕΡΙ· ΕΣΤΙ ΚΑΙ ΗΜΙΝ
Ὦ φίλε, σφόδρα μεγαλοφρονεῖς ἐπὶ τῇ γαστρὶ, ἐστὶ δ' ἄρα καὶ ἡμῖν
ΠΟΛΛΑ ΜΑΛ' ΕΝ ΛΙΜΝΗΙ, ΚΑΙ ΕΠΙ ΧΘΟΝΙ ΘΑΥΜΑΤ' ΙΔΕΣΘΑΙ·
Πολλὰ καὶ ἐν λίμνῃ, καὶ ἐπὶ γῆς θαυμαστὰ ἰδεῖν·

ΑΜΦΙΒΙΟΝ ΓΑΡ ΕΔΩΚΕ ΝΟΜΗΝ ΒΑΤΡΑΧΟΙΣΙ ΚΡΟΝΙΩΝ,
*Διτ]ὴν γὰρ δίαιταν ἔδωκε τοῖς βατράχοις ὁ τȣ̃ Κρόνου υἱός, ϗ διτ]ὸν βίον,*
ΣΚΙΡΤΗΣΑΙ ΚΑΤΑ ΓΑΙΑΝ, ΚΑΙ ΕΝ ΥΔΑΣΙ ΣΩΜΑ ΚΑΛΥΨΑΙ,
*Χορεῦσαι ϗ τέρπεσθαι κατὰ γῆν, ϗ ἐν τῷ ὕδατι τὸ σῶμα καλύψαι,*
ΣΤΟΙΧΕΙΟΙΣ ΔΙΤΤΟΙΣ ΜΕΜΕΡΙΣΜΕΝΑ ΔΩΜΑΤΑ ΝΑΙΕΙΝ.
*Στοιχείοιν δυοῖν κεχωρισμένα οἰκήματα κατοικεῖν.*
ΕΙ Δ' ΕΘΕΛΕΙΣ ΚΑΙ ΤΑΥΤΑ ΔΑΗΜΕΝΑΙ, ΕΥΧΕΡΕΣ ΕΣΤΙ.
*Εἰ δὲ βούλεις ϗ ταῦτα καταμαθεῖν, ῥάδιον ϗ εὐπετές ἐστίν.*
ΒΑΙΝΕ ΜΟΙ ΕΝ ΝΩΤΟΙΣΙ· ΚΡΑΤΕΙ ΔΕ ΜΕ, ΜΗ ΠΟΤ' ΟΛΗΑΙ,
*Ἀνάβηθι ἐπὶ τὰ ἐμὰ νῶτα, ἔχου δέ μου, μήποτε καταπεσὼν ἀπόλλῃ.*
ΟΠΠΩΣ ΓΗΘΟΣΥΝΟΣ ΤΟΝ ΕΜΟΝ ΔΟΜΟΝ ΕΙΣΑΦΙΚΗΑΙ.
*Ἵνα χαίρων, ϗ ἀγαλλόμενος εἰς τὸν ἐμὸν οἶκον ἀφίκῃ.*
ΩΣ ΑΡ' ΕΦΗ, ΚΑΙ ΝΩΤ' ΕΔΙΔΟΥ, Ο Δ' ΕΒΑΙΝΕ ΤΑΧΙΣΤΑ
*Οὕτω δὴ εἶπεν, ϗ τὰ νῶτα παρεῖχεν· οὗτος δὲ ἀνέβαινε ὅτι τάχος*
ΧΕΙΡΑΣ ΕΧΩΝ ΤΡΥΦΕΡΟΙΟ ΚΑΤ' ΑΥΧΕΝΟΣ ΑΛΜΑΤΙ ΚΟΥΦΩι.
*Πηδήματι ἐλαφρῷ ϗ εὐορμήτῳ ἴσχων τὰς χεῖρας ἐπὶ τῷ τρυφερῷ ϗ ἁπαλῷ αὐχένι.*
ΚΑΙ ΠΡΩΤΟΝ ΜΕΝ ΕΧΑΙΡΕΝ, ΟΤ' ΕΒΛΕΠΕ ΓΕΙΤΟΝΑΣ ΟΡΜΟΥΣ,
*Καὶ τὸ μὲν πρῶτον ἥδετο ϗ εὔφραινε, ἡνίκα ἑώρα πλησίον τὰ πρόσγεια τῆς λίμνης*
ΝΗΞΕΙ ΤΕΡΠΟΜΕΝΟΣ ΦΥΣΙΓΝΑΘΟΥ· ΑΛΛ' ΟΤΕ ΔΗ ΡΑ
*Χαίρων, ϗ ἀγαλλόμενος τῇ νήξει, ϗ πορείᾳ τοῦ Φυσιγνάθου· ἀλλ' ἡνίκα δὴ*
ΚΥΜΑΣΙ ΠΟΡΦΥΡΕΙΣΙΝ ΕΠΕΚΛΥΖΕΤΟ, ΠΟΛΛΑ ΔΑΚΡΥΩΝ
*Κύμασι πορφυροῖς ϗ μέλασι κατεβρέχετο, σφόδρα κλαίων*
ΑΧΡΗΣΤΟΝ ΜΕΤΑΝΟΙΑΝ ΕΜΕΜΦΕΤΟ, ΤΙΛΛΕ ΔΕ ΧΑΙΤΑΣ,
*Ἀνόνητα μετανοῶν ᾐτιᾶτο, ϗ κατεγίνωσκεν ἑαυτοῦ, ἀνέσπα δὲ τὰς τρίχας,*
ΚΑΙ ΠΟΔΑΣ ΕΣΦΙΓΓΕΝ ΚΑΤΑ ΓΑΣΤΕΡΟΣ, ΕΝ ΔΕ ΟΙ ΗΤΟΡ
*Καὶ τοὺς πόδας συνεῖχε, ϗ ἔσφιγγεν ὑπὸ τὴν γαστέρα, ἔνδον δὲ ἡ ψυχὴ αὐτοῦ*
ΠΑΛΛΕΤ' ΑΗΘΕΙΗι, ΚΑΙ ΕΠΙ ΧΘΟΝΑ ΒΟΥΛΕΤ' ΙΚΕΣΘΑΙ.
*Ἐκινεῖτο ἀήθως, ϗ πρὸς τὴν γῆν ἤθελεν ἀφικέσθαι.*
ΔΕΙΝΑ Δ' ΥΠΕΣΤΟΝΑΧΙΖΕ, ΦΟΒΟΥ ΚΡΥΟΕΝΤΟΣ ΑΝΑΓΚΗι.
*Χαλεπῶς δὲ ἀνεστέναζεν ὑπὸ τῆς ἀνάγκης τοῦ ψυχροῦ δέους*
ΟΥΡΗΝ ΜΕΝ ΠΡΩΤ' ΕΠΛΑΣ' ΕΝ ΥΔΑΣΙΝ, ΗΥΤΕ ΚΩΠΗΝ
*Οὐρὰν μὲν τὰ πρῶτα ἐν τῷ ὕδατι καθάπερ κώπην*

ΣΥΡΩΝ· ΕΥΧΟΜΕΝΟΣ ΤΕ ΘΕΟΙΣ ΕΠΙ ΓΑΙΑΝ ἹΚΕΣΘΑΙ,
Ἐπισύρων, ϗ εὐχόμενος τοῖς θεοῖς πρὸς τὴν γῆν ἀφικέσθαι,
ΚΥΜΑΣΙ ΠΟΡΦΥΡΕΟΙΣΙΝ ΕΚΛΥΖΕΤΟ, ΠΟΛΛΑ ΔΑΚΡΥΩΝ,
Κύμασι πορφυροῖς ϗ μέλασιν κατέβρεχη σφόδρα κλαίων,
ΚΑΙ ΤΟΙΟΝ ΦΑΤΟ ΜΥΘΟΝ, ΑΠΟ ΣΤΟΜΑΤΟΣ Δ᾽ ΑΓΟΡΕΥΕΝ·
Καὶ λόγον εἶπε τοιοῦτον, ἀπὸ ϛόματος δὲ ἐλάλει·
ΟΥΧ ὈΥΤΩ ΝΩΤΟΙΣΙΝ ΕΒΑΣΤΑΣΕ ΦΟΡΤΟΝ ΕΡΩΤΟΣ
Οὐχ οὕτως ἐπὶ τῶν νώτων ἐβάϛασε φορτίον ἔρωτος
ΤΑΥΡΟΣ, ὉΤ᾽ ΕΥΡΩΠΗΝ ΔΙΑ ΚΥΜΑΤΟΣ ΗΓ᾽ ΕΠΙ ΚΡΗΤΗΝ,
Ὁ ταῦρος, ἡνίκα τὴν Εὐρώπην ἦγε διὰ θαλάσσης ἐπὶ τὴν Κρήτην,
ὩΣ ΝΥΝ ΑΠΛΩΣΑΣ ΕΠΙ ΝΩΤΙΟΝ ΗΓΕΝ ΕΣ ΟΙΚΟΝ
Ὥσπερ νῦν ἀνελόμενος ϗ ἐφαπλώσας ἐπὶ τῶν νώτων ἐμὲ ἄγει εἰς τὸν οἶκον
ΒΑΤΡΑΧΟΣ, ὙΨΩΣΑΣ ΩΧΡΟΝ ΔΕΜΑΣ ὙΔΑΤΙ ΛΕΥΚΩΙ.
Ὁ βάτραχος ἄρας ϗ ἐπικουφίσας τὸ χλωρὸν αὐτοῦ σῶμα ἐπὶ τῷ λευκῷ ὕδατι.
ὙΔΡΟΣ Δ᾽ ΕΞΑΙΦΝΗΣ ΑΝΕΦΑΙΝΕΤΟ, ΔΕΙΝΟΝ ὉΡΑΜΑ
Ὕδρος δὲ αἰφνιδίως ἀνεφάνη· θέαμα φοβερὸν
ΑΜΦΟΤΕΡΟΙΣ· ΟΡΘΟΝ Δ᾽ ὙΠΕΡ ὙΔΑΤΟΣ ΕΙΧΕ ΤΡΑΧΗΛΟΝ.
Ἑκατέρῳ· ὀρθὸν δὲ τὸν τράχηλον εἶχεν ὑπεράνω τοῦ ὕδατος.
ΤΟΥΤΟΝ ΙΔΩΝ ΚΑΤΕΔΥ ΦΥΣΙΓΝΑΘΟΣ, ΟΥΤΙ ΝΟΗΣΑΣ
Τοῦτον θεασάμενος ὁ Φυσίγναθος κατεβαπτίσθη οὐκ ἔτι λογισάμενος
ὉΙΟΝ ἙΤΑΙΡΟΝ ΕΜΕΛΛΕΝ ΑΠΟΛΛΥΜΕΝΟΝ ΚΑΤΑΛΕΙΠΕΙΝ,
Ὁποῖον φίλον ἀπολούμενον ἔμελλεν καταλείπειν,
ΔΥ ΔΕ ΒΑΘΟΣ ΛΙΜΝΗΣ, ΚΑΙ ΑΛΕΥΑΤΟ ΚΗΡΑ ΜΕΛΑΙΝΑΝ.
Κατέβη δὲ εἰς τὸ βάθος τῆς λίμνης, ϗ ἐξέφυγε τὴν θανατήφορον ἀνιαρὰν μοῖραν.
ΚΕΙΝΟΣ Δ᾽ ὩΣ ΑΦΕΘΗ, ΠΕΣΕΝ ὙΠΤΙΟΣ ΕΥΘΥΣ ΕΣ ὙΔΩΡ,
Ἐκεῖνος δὲ ἐπειδὴ κατελείφθη, ἔπεσε παραχρῆμα ὕπτιος εἰς τὸ ὕδωρ,
ΧΕΙΡΑΣ Δ᾽ ΕΣΦΙΓΓΕΝ, ΚΑΙ ΑΠΟΛΛΥΜΕΝΟΣ ΚΑΤΕΤΡΙΖΕ.
Ἔσφιγγε δὲ ϗ συνεῖχε τὰς χεῖρας, ϗ ἀπολούμενος διεγόγγυζε.
ΠΟΛΛΑΚΙ ΜΕΝ ΚΑΤΕΔΥΝΕΝ ΕΦ᾽ ὙΔΑΤΙ, ΠΟΛΛΑΚΙ Δ᾽ ΑΥΤΕ
Καὶ πολλάκις μὲν κατεβαπτίζετο εἰς τὸ ὕδωρ, πολλάκις δὲ
ΛΑΚΤΙΖΩΝ ΑΝΕΔΥΝΕ, ΜΟΡΟΝ Δ᾽ ΟΥΚ ΗΝ ὙΠΑΛΥΞΑΙ.
Πλήττων τοῖς ποσὶν ἀνεφέρετο, τὸν θάνατον δὲ οὐκ ἦν δυνατὸν ἐκφυγεῖν.

ΔΕΥΟΜΕΝΑΙ ΔΕ ΤΡΙΧΕΣ ΠΛΕΙΣΤΟΝ ΒΑΡΟΣ ΗΕΝ ΕΠ' ΑΥΤΩι.
Βρεχόμεναι δὲ αἱ τρίχες μέγιστον βάρος ἦσαν ἐπ' αὐτῷ.
ὙΔΑΤΙ Δ' ΟΛΛΥΜΕΝΟΣ, ΤΟΙΟΥΣ ΕΦΘΕΓΞΑΤΟ ΜΥΘΟΥΣ·
Ὕδατι δὲ ἀπολούμενος τοιοῦτους λόγους ἐφθέγξατο·
ΟΥ ΛΗΣΕΙΣ ΓΕ ΘΕΟΥΣ, ΦΥΣΙΓΝΑΘΕ, ΤΑΥΤΑ ΠΟΙΗΣΑΣ,
Οὐ λήσεις τοὺς Θεοὺς, ὦ Φυσίγναθε, ταῦτα πεποιηκὼς,
ΕΣ ΛΙΜΝΗΝ ΜΕ ΡΙΨΑΣ ΑΠΟ ΣΩΜΑΤΟΣ, ὩΣ ΑΠΟ ΠΕΤΡΗΣ.
Εἰς τὴν λίμνην με ἀποῤῥίψας ἄνωθεν ἀπὸ τοῦ σώματός σου ὥσπερ ἀπό τινος πέτρας ὑψηλῆς.
ΟΥ ΓΑΡ ΜΟΥ ΚΑΤΑ ΓΑΙΑΝ ΑΜΕΙΝΩΝ ΗΣΘΑ ΚΑΚΙΣΤΕ,
Οὐκ ἄν μου κατὰ γῆν κρέσσων ἐτύγχανες, ὦ πονηρότατε,
ΠΑΓΚΡΑΤΙΩι ΤΕ, ΠΑΛΗι ΤΕ, ΚΑΙ ΕΙΣ ΔΡΟΜΟΝ, ΑΛΛΑ ΠΑΤΗΣΑΣ
Παγκρατίῳ τε, καὶ πάλῃ, καὶ εἰς δρόμον, ἀλλ' ἀπατήσας καὶ ψευσάμενος
ΕΙΣ ὙΔΩΡ Μ' ΕΡΡΙΨΑΣ· ΕΧΕΙ ΘΕΟΣ ΕΚΔΙΚΟΝ ΟΜΜΑ.
Ἔῤῥιψάς με εἰς τὸ ὕδωρ· ἔχει ὁ Θεὸς τιμωρητικὸν ὀφθαλμόν.
ΠΟΙΝΗΝ ΑΝΤ' ΕΚΤΙΣΙΝ Τ' ΟΡΘΗΝ ὋΣ Κ' ΑΠΟΛΩΣΕΙ·
Καὶ κόλασιν καὶ ἀνταπόδοσιν δικαίαν ὃς δὴ ἀποδώσει σοι,
ΤΟΙΣ ΤΙΣΟΥΣΙ ΣΕ ΜΥΩΝ ΣΤΡΑΤΟΣ ΟΥΔ' ὙΠΑΛΥΞΕΙΣ.
Διὰ ταῦτα τιμωρήσονταί σε ὁ τῶν μυῶν στρατὸς, οὐ δὲ διαδράσεις.
ΩΣ ΕΙΠΩΝ, ΑΠΕΠΝΕΥΣΕΝ ΕΝ ὙΔΑΣΙ· ΤΟΝ ΔΕ ΚΑΤΕΙΔΕ
Οὕτως εἰπὼν ἐξέπνευσεν ἐν τῷ ὕδατι· ἐθεάσατο δὲ αὐτὸν
ΛΕΙΧΟΠΙΝΑΞ ΟΧΘΗΣΙΝ ΕΦΕΖΟΜΕΝΟΣ ΜΑΛΑΚΗΣΙ·
Λειχοπίναξ ἐπὶ ταῖς μαλακαῖς ὄχθαις καθήμενος·
ΔΕΙΝΟΝ Δ' ΕΞΟΛΟΛΥΞΕ, ΔΡΑΜΩΝ Δ' ΗΓΓΕΙΛΕ ΜΥΕΣΣΙΝ.
Θρηνῶν δὲ τρανῶς ἀνεβόησε, καὶ δραμὼν ἀπήγγειλε τὸ γεγονὸς τοῖς μυσίν.
ὩΣ Δ' ΕΜΑΘΟΝ ΤΗΝ ΜΟΙΡΑΝ, ΕΔΥ ΧΟΛΟΣ ΑΙΝΟΣ ἍΠΑΝΤΑΣ,
Ἐπεὶ δὲ ἤκουσαν τὸν θάνατον, ὀργὴ χαλεπὴ ἐξῆψεν ἅπαντας,
ΚΑΙ ΤΟΤΕ ΚΗΡΥΚΕΣΣΙΝ ἘΟΙΣ ΕΚΕΛΕΥΣΑΝ ὙΠ' ΟΡΘΡΟΝ
Καὶ τηνικαῦτα τοῖς ἑαυτῶν κήρυξιν ἐκέλευσαν ἕωθεν μάλα
ΚΗΡΥΣΣΕΙΝ ΑΓΟΡΥΝ Δ' ΕΣ ΔΩΜΑΤΑ ΤΡΩΞΑΡΤΑΟ,
Κηρύττειν, καὶ συγκαλεῖν ἀγορὰν εἰς τὰ οἰκήματα τοῦ Τρωξάρτου,
ΠΑΤΡΟΣ ΔΥΣΤΗΝΟΥ ΨΙΧΑΡΠΑΓΟΣ, ὋΣ ΚΑΤΑ ΛΙΜΝΗΝ
Τοῦ πατρὸς τοῦ ἀθλίου Ψυχάρπαγος, ὃς ἐν τῇ λίμνῃ

ΥΠΤΙΟΣ ΕΞΗΠΛΩΤΟ ΝΕΚΡΟΝ ΔΕΜΑΣ, ΟΥΔΕ ΠΑΡ᾽ ΟΧΘΑΣ
Ἐξήπλωτο ὕπτιος σῶμα νεκρὸν, οὐδὲ παρὰ τὰς ὄχθας
ἩΝ ΗΔΗ ΤΛΗΜΩΝ, ΜΕΣΣΩι Δ᾽ ΕΠΕΝΗΧΕΤΟ ΠΟΝΤΩι.
Ἔκειτο ἤδη ὁ ταλαίπωρος, ἀλλ᾽ ἐν τῷ μέσῳ τῆς λίμνης ἐφέρετο.
ὩΣ Δ᾽ ΗΛΘΟΝ ΣΠΕΥΔΟΝΤΕΣ ἍΜ᾽ ΗΟΙ, ΠΡΩΤΟΣ ΑΝΕΣΤΗ
Ἐπεὶ δὲ παρεγένοντο ἐπειγόμενοι ἅμα τῷ πρωὶ, ἀνέστη πρῶτος
ΤΡΩΞΑΡΤΗΣ ΕΠΙ ΠΑΙΔΙ ΧΟΛΟΥΜΕΝΟΣ, ΕΙΠΕ ΤΕ ΜΥΘΟΝ.
Τρωξάρτης ἕνεκα τοῦ παιδὸς ὀργιζόμεος, καὶ εἶπε λόγον.
Ω ΦΙΛΟΙ, ΕΙ ΚΑΙ ΜΟΥΝΟΣ ΕΓΩ ΚΑΚΑ ΠΟΛΛΑ ΠΕΠΟΝΘΑ
Ὦ φίλοι, εἰ καὶ μόνος ἐγὼ πολλὰ δεινὰ ἔπαθον
ΕΚ ΒΑΤΡΑΧΩΝ, ΑΛΛ᾽ Ἡ ΠΕΙΡΑ ΠΑΝΤΕΣΣΙ ΤΕΤΥΚΤΑΙ.
Ὑπὸ τῶν βατράχων, ἀλλ᾽ ἥγε προσβολὴ καὶ ἐπιχείρησις κατὰ πάντα ἐγεγόνει.
ΕΙΜΙ ΔΕ ΝΥΝ ΕΛΕΕΙΝΟΣ, ΕΠΕΙ ΤΡΕΙΣ ΠΑΙΔΑΣ ΟΛΕΣΣΑ·
Εἰμὶ δὲ νῦν ἄθλιος καὶ οἰκτρὸς, ἐπειδὴ τρεῖς ὑιοὺς ἀπώλευσα,
ΚΑΙ ΤΟΝ ΠΡΩΤΟΝ ΜΕΝ ΡΑ ΚΑΤΕΚΤΑΝΕΝ ἉΡΠΑΞΑΣΑ
Καὶ τὸν μὲν πρῶτον ἀπέκτανε ἁρπάσασα
ΕΧΘΙΣΤΗ ΓΑΛΕΗ, ΤΡΩΓΛΗΣ ΕΚΤΟΣΘΕ ΛΑΒΟΥΣΑ·
Ἡμισητοτάτη γαλῆ, ἔξω τῆς μυωξίας καταλαβοῦσα αὐτὸν,
ΤΟΝ Δ᾽ ΑΛΛΟΝ ΠΑΛΙΝ ΑΝΔΡΕΣ ΑΠΗΝΕΕΣ ΕΙΣ ΜΟΡΟΝ ΗΞΑΝ,
Τὸν ἄλλον δὲ πάλιν ἄνδρες, ὠμοίδε, καὶ ἀγνώμονες εἰς θάνατον εἵλκυσαν,
ΚΑΙΝΟΤΕΡΑΙΣ ΤΕΧΝΑΙΣ, ΞΥΛΙΝΟΝ ΔΟΛΟΝ ΕΞΕΥΡΟΝΤΕΣ,
Νεωτέραις τέχναις καὶ ἐπιβουλαῖς, ξύλινόν τινα δόλον καὶ μηχάνημα ἐξευρόντες,
ἩΝ ΠΑΓΙΔΑ ΚΑΛΕΟΥΣΙ, ΜΥΩΝ ΟΛΕΤΕΙΡΑΝ ΕΟΥΣΑΝ·
Ἣν παγίδα ὀνομάζουσι, μυῶν θανατιφόρον οὖσαν.
ΤΡΙΤΟΣ Δ᾽ ΗΝ ΑΓΑΠΗΤΟΣ ΕΜΟΙ ΚΑΙ ΜΗΤΕΡΙ ΚΕΔΝΗι,
Ὁ τρίτος δὲ ἦν ἀγαπητὸς ἐμοὶ, καὶ τῇ ἀγαθῇ μητρί,
ΤΟΥΤΟΝ ΑΠΕΠΝΙΞΕΝ ΒΑΤΡΑΧΟΣ ΚΑΚΟΣ ΕΣ ΒΥΘΟΝ ΑΞΑΣ.
Τοῦτον ἀπέπνιξεν ὁ βάτραχος κακὸς εἰς τὸ βάθος τῆς λίμνης ἀπαγαγών.
ΑΛΛ᾽ ΑΓΕΘ᾽ ὉΠΛΙΣΩΜΕΣΘΑ, ΚΑΙ ΕΞΕΛΘΩΜΕΝ ΕΠ᾽ ΑΥΤΟΥΣ.
Ἀλλ᾽ ἄγετε καθοπλίζεσθε καὶ ἴωμεν κατ᾽ αὐτῶν,
ΣΩΜΑΤΑ ΚΟΣΜΗΣΑΝΤΕΣ ΕΝ ΕΝΤΕΣΙ ΔΑΙΔΑΛΕΟΙΣΙ.
Τὰ σώματα περιστέλαντες ὅπλοις ποικίλοις.

ΤΑΥΤ' ΕΙΠΩΝ, ΑΝΕΠΕΙΣΕ ΚΑΘΟΠΛΙΖΕΣΘΑΙ ἍΠΑΝΤΑΣ.
Ταῦτα εἰπὼν, κατέπεισεν ἅπαντας ἐνόπλους γενέσθαι.

ΚΝΗΜΙΔΑΣ ΜΕΝ ΠΡΩΤΑ ΠΕΡΙ ΚΝΗΜΗΣΙΝ ΕΘΗΚΑΝ,
Κνημῖδας μὲν οὖν πρῶτον περὶ τὰς κνήμας ἔθηκαν,

ΡΗΞΑΝΤΕΣ ΚΥΑΜΟΥΣ ΧΛΩΡΟΥΣ, ΕΥ Δ' ΑΣΚΗΣΑΝΤΕΣ,
Σχίσαντες χλωροὺς κυάμους, καὶ καλλῶς κατασκευάσαντες,

ΟΥ̓Σ ΑΥΤΟΙ ΔΙΑ ΝΥΚΤΟΣ ΕΠΙΣΤΑΝΤΕΣ ΚΑΤΕΤΡΩΞΑΝ.
Οὓς αὐτοὶ νύκτωρ ἐπελθόντες κατέφαγον·

ΑΣΠΙΣ Δ' ΗΝ ΛΥΧΝΟΥ ΤΟ ΜΕΣΟΜΦΑΛΟΝ· Ἡ ΔΕ ΝΥ ΛΟΓΧΗ,
Α'σπὶς δὲ ἦν ὁ τοῦ λύχνου μέσος ὀμφαλὸς, τὰ δόρατα δὲ ἦσαν

ΕΥΜΗΚΕΙΣ ΒΕΛΟΝΑΙ, ΠΑΓΧΑΛΚΕΟΝ ΕΡΓΟΝ ΑΡΗΟΣ·
Βελόναι μακραὶ, στερεώτατον ἔργον σιδήρου·

Ἡ ΔΕ ΚΟΡΥΣ, ΤΟ ΛΕΠΥΡΟΝ ΕΠΙ ΚΡΟΤΑΦΟΙΣΙ ΚΑΡΥΟΥ.
Τὸ κράνος δὲ ἦν ἐπὶ τοῖς κροτάφοις καρύου φλοιὸς,

ΘΩΡΗΚΑΣ Δ' ΕΙΧΟΝ ΚΑΛΑΜΟΣΤΕΦΕΩΝ ΑΠΟ ΒΥΡΣΩΝ,
Θώρακας δὲ εἶχον ἀπὸ καλῶν καὶ εὖ τεθραμμένων δερμάτων,

ΟΥ̓Σ, ΓΑΛΕΗΝ ΔΕΙΡΑΝΤΕΣ, ΕΠΙΣΤΑΜΕΝΩΣ ΕΠΟΙΗΣΑΝ.
Οὓς γαλὴν ἐκδάραντες εὐτέχνως καὶ συνετῶς κατεσκεύασαν·

ΟΥΤΩ ΜΕΝ ΜΥΕΣ ΗΣΑΝ ΕΝΟΠΛΟΙ· Ὡ̓Σ Δ' ΕΝΟΗΣΑΝ
Οὕτω μὲν μύες καθωπλισμένοι ἐτύγχανον. ἐπεὶ δὲ ἔμαθον ταῦτα

ΒΑΤΡΑΧΟΙ, ΕΞΑΝΕΔΥΣΑΝ ΑΦ' ΫΔΑΤΟΣ, ΕΙΣ Δ' ΕΝΑ ΧΩΡΟΝ
Οἱ βάτραχοι ἀνέβησαν ἐκ τοῦ ὕδατος, εἰς ἕνα δὲ τόπον

ΕΛΘΟΝΤΕΣ, ΒΟΥΛΗΝ ΞΥΝΑΓΟΝ ΠΟΛΕΜΟΙΟ ΚΑΚΟΙΟ.
Συνελθόντες, συνῆγον βουλὴν πολέμου κακοῦ, καὶ δεινοῦ.

ΣΚΕΠΤΟΜΕΝΩΝ Δ' ΑΥΤΩΝ ΠΟΘΕΝ Ἡ ΣΤΑΣΙΣ, Η ΤΙΣ Ὁ ΘΡΥΛΛΟΣ,
Σκοπουμένων δὲ αὐτῶν πόθεν ὁ πόλεμος, καὶ τὶς ἡ φήμη,

ΚΗΡΥΞ ΕΓΓΥΘΕΝ ΗΛΘΕ, ΦΕΡΩΝ ΡΑΒΔΟΝ ΜΕΤΑ ΧΕΡΣΙ,
Κῆρυξ ἐγγὺς ἀφίκετο, ἔχων ἐν ταῖς χερσὶ ῥάβδον,

ΤΥΡΟΓΛΥΦΟΥ ΫΙΟΣ ΜΕΓΑΛΗΤΟΡΟΣ ΕΜΒΑΣΙΧΥΤΡΟΣ,
Ε'μβασίχυτρος ὁ υἱὸς τοῦ μεγαλοψύχου καὶ γενναίου Τυρογλύφου

ΑΓΓΕΛΛΩΝ ΠΟΛΕΜΟΙΟ ΚΑΚΗΝ ΦΑΤΙΝ· ΕΙΠΕ ΤΕ ΜΥΘΟΝ.
Μηνύων πολέμου καὶ μάχης κακὴν ἀγγελίαν, καὶ εἶπε λόγον.

ΒΑΤΡΑΧΟΙ, ΜΥΕΣ ΎΜΜΙΝ ΑΠΕΙΛΗΣΑΝΤΕΣ ΕΠΕΜΨΑΝ
*Ὦ βάτραχοι, οἱ μῦες διαγγεῖλαι τὰ χείρω ἔπεμψάν με ὑμῖν*
ΕΙΠΕΙΝ, ὉΠΛΙΖΕΣΘΑΙ ΕΠΙ ΠΟΛΕΜΟΝ ΤΕ ΜΑΧΗΝ ΤΕ.
*Φᾶναι καθοπλίζεσθαι ἐπὶ πόλεμον καὶ μάχην.*
ΕΙΔΟΝ ΓΑΡ ΚΑΘ᾽ ΎΔΩΡ ΨΥΧΑΡΠΑΓΑ ὋΝ ΚΑΤΕΠΕΦΝΕΝ
*Ἐθεάσαντο γὰρ ἐν τῷ ὕδατι Ψυχάρπαγα ὅν τινα ἐφόνευσεν*
ΎΜΕΤΕΡΟΣ ΒΑΣΙΛΕΥΣ ΦΥΣΙΓΝΑΘΟΣ. ΑΛΛΑ ΜΑΧΕΣΘΕ,
*Φυσίγναθος ὁ ὑμέτερος βασιλεύς· ἀλλὰ πολεμεῖτε,*
ΟἹ ΤΙΝΕΣ ΕΝ ΒΑΤΡΑΧΟΙΣΙΝ ΑΡΙΣΤΗΕΣ ΓΕΓΑΑΤΕ.
*Ὅσοι ἐν τοῖς βατράχοις ἀρισταῖς καὶ ἀνδρεῖοι γεγόνατε.*
ὩΣ ΕΙΠΩΝ ΑΠΕΦΗΝΕ· ΛΟΓΟΣ Δ᾽ΕΙΣ ΟΥΑΤΑ ΠΑΝΤΩΝ
*Οὕτως εἰπὼν τὸ πρᾶγμα ἐνεδείξατο. ὁ λόγος δ᾽εἰς τὰ ὦτα πάντων*
ΕΙΣΕΛΘΩΝ ΕΤΑΡΑΞΕ ΦΡΕΝΑΣ ΒΑΤΡΑΧΩΝ ΑΓΕΡΩΧΩΝ.
*Εἰσδὺς ἐκίνησε τὰς διανοίας τῶν ἀνδρείων καὶ ἀλαζόνων βατράχων.*
ΜΕΜΦΟΜΕΝΩΝ Δ᾽ΑΥΤΩΝ ΦΥΣΙΓΝΑΘΟΣ ΕΙΠΕΝ ΑΝΑΣΤΑΣ·
*Αἰτιωμένων δὲ καὶ κατηγορούντων αὐτῶν Φυσίγναθος ἀναστὰς ἔφη.*
Ω ΦΙΛΟΙ, ΟΥΚ ΕΚΤΕΙΝΟΝ ΕΓΩ ΜΥΝ, ΟΥΔΕ ΚΑΤΕΙΔΟΝ
*Ὦ φίλοι, οὐκ ἀπέκτεινα ἐγὼ μῦν, οὐδὲ ἐθεασάμην αὐτὸν*
ΟΛΛΥΜΕΝΟΝ· ΠΑΝΤΩΣ ΕΠΝΙΓΗ ΠΑΙΖΩΝ ΠΑΡΑ ΛΙΜΝΗΝ,
*Ἀπολλύμενον· ἐπνίγη δηλαδὴ παίζων παρὰ τὴν λίμνην,*
ΝΗΞΕΙΣ ΤΑΣ ΒΑΤΡΑΧΩΝ ΜΙΜΟΥΜΕΝΟΣ· ΟἹ ΔΕ ΚΑΚΙΣΤΟΙ
*Μιμούμενος τὰς νήξεις καὶ τὰς καθ᾽ ὕδωρ πορείας τῶν βατράχων. οὗτοι δὲ οἱ πονηρότατοι*
ΝΥΝ ΕΜΕ ΜΕΜΦΟΝΤΑΙ ΤΟΝ ΑΝΑΙΤΙΟΝ. ΑΛΛ᾽ΑΓΕ ΒΟΥΛΗΝ
*Νῦν αἰτιῶνται ἐμὲ τὸν ἀθῶον καὶ μηδενὸς ὄντα. ἀλλ᾽ ἄγετε βουλὴν*
ΖΗΤΗΣΩΜΕΝ, ὋΠΩΣ ΔΟΛΙΟΥΣ ΜΥΑΣ ΕΞΟΛΕΣΩΜΕΝ.
*Συζητήσωμεν εὑρεῖν, ὅπως τοὺς κακοτρόπους καὶ ἐπιβούλους μῦας ἀφανίσωμεν.*
ΤΟΙΓΑΡ ΕΓΩΝ ΕΡΕΩ ὩΣ ΜΟΙ ΔΟΚΕΙ ΕΙΝΑΙ ΑΡΙΣΤΑ·
*Τοιγαροῦν ἐγὼ λέξω καθάπερ μοι φαίνεται μάλιστα ἔχειν.*
ΣΩΜΑΤΑ ΚΟΣΜΗΣΑΝΤΕΣ ΕΝΟΠΛΟΙ ΣΤΩΜΕΝ ἍΠΑΝΤΕΣ
*Τὰ σώματα στείλαντες καθοπλισμένοι στῶμεν ἅπαντες*
ΑΚΡΟΙΣ ΠΑΡΑ ΧΕΙΛΕΣΣΙΝ, ὉΠΟΥ ΚΑΤΑΚΡΗΜΝΟΣ Ο ΧΩΡΟΣ·
*Παρὰ τοῖς ἄκροις τῶν χειλέων τῆς λίμνης, ἔνθα ὁ τόπος κρημνώδης καὶ πρηνής ἐστιν.*

ΗΝΙΚΑ Δ᾽ ΟΡΜΗΘΕΝΤΕΣ ΕΦ᾽ ΗΜΕΑΣ ΕΞΕΛΘΩΣΙ,
Ὁπόταν δὲ ἐφορμήσαντες ἐφ᾽ ἡμᾶς ἔλθωσιν,
ΔΡΑΞΑΜΕΝΟΙ ΚΟΡΥΘΩΝ, ΟΣ ΤΙΣ ΣΧΕΔΟΝ ΑΝΤΙΟΝ ΕΛΘΟΙ.
Ὑμᾶς δραξάμενοι τῶν περικεφαλαιῶν καὶ ἁρπάσαντες, ὃς ἂν ἐγγὺς ἐναντίον παραγένοιντο
ΕΙΣ ΛΙΜΝΗΝ ΑΥΤΟΥΣ ΣΥΝ ΕΝΤΕΣΙΝ ΕΥΘΥ ΒΑΛΩΜΕΝ.
Εἰς τὴν λίμνην αὐτοὺς αὐταῖς περικεφαλαίαις παραχρῆμα ἐμβάλωμεν.
ΟΥΤΩ ΓΑΡ ΠΝΙΞΑΝΤΕΣ ΕΝ ΥΔΑΣΙ ΤΟΥΣ ΑΚΟΛΥΜΒΟΥΣ,
Οὕτω γὰρ καταποντίσαντες καὶ πνίξαντες ἐν τῷ ὕδατι τοὺς ἰδιώτας καὶ ἀπείρους τοῦ νεῖν,
ΣΤΗΣΟΜΕΝ ΕΥΘΥΜΩΣ ΤΟ ΜΥΟΚΤΟΝΟΝ ΩΔΕ ΤΡΟΠΑΙΟΝ.
Στήσομεν περιχερῶς οὕτω τὸ ἐπὶ τῷ φόνῳ τῶν μυῶν τρόπαιον.
ΩΣ ΕΙΠΩΝ ΣΥΝΕΠΕΙΣΕ ΚΑΘΟΠΛΙΖΕΣΘΑΙ ΑΠΑΝΤΑΣ.
Οὕτως εἰπὼν κατέπεισεν ἅπαντας ἐν ὅπλοις γενέσθαι.
ΦΥΛΛΟΙΣ ΜΕΝ ΜΑΛΑΧΩΝ ΚΝΗΜΑΣ ΕΑΣ ΑΜΦΕΚΑΛΥΨΑΝ,
Φύλλοις μὲν οὖν μαλάχων τὰς κνήμας περιεκάλυψαν,
ΘΩΡΗΚΑΣ Δ᾽ ΕΙΧΟΝ ΧΛΟΕΡΩΝ ΠΛΑΤΕΩΝ ΑΠΟ ΣΕΥΤΛΩΝ,
Θώρακας δὲ εἶχον ἀπὸ τεύτλων χλωρῶν καὶ πλατυτέρων·
ΦΥΛΛΑ ΔΕ ΤΩΝ ΚΡΑΜΒΩΝ ΕΙΣ ΑΣΠΙΔΑΣ ΕΥ ΗΣΚΗΣΑΝ,
Τὰ φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας καλῶς κατεσκεύασαν.
ΕΓΧΟΣ Δ᾽ ΟΞΥΣΧΟΙΝΟΣ ΕΚΑΣΤΩΙ ΜΑΚΡΟΣ ΑΡΗΡΕΙ,
Δόρυ δὲ ἑκάστῳ ἐφήρμοστο σχοῖνος ὀξὺς καὶ μακρὸς,
ΚΑΙΡΑ ΚΟΧΛΙΩΝ ΛΕΠΤΩΝ ΕΚΑΛΥΠΤΕ ΚΑΡΗΝΑ.
Καὶ δὴ κέρα κοχλιῶν λεπτοτέρων περιεκάλυπτε τὰς κεφαλὰς αὐτῶν.
ΦΡΑΞΑΜΕΝΟΙ Δ᾽ ΕΣΤΗΣΑΝ ΕΠ᾽ ΟΧΘΑΙΣ ΥΨΗΛΗΙΣΙ,
Καθοπλισθέντες δὲ ἔστησαν ἐπὶ ταῖς ψηλαῖς ὄχθαις,
ΣΕΙΟΝΤΕΣ ΛΟΓΧΑΣ· ΘΥΜΟΥ Δ᾽ ΕΠΛΗΤΟ ΕΚΑΣΤΟΣ.
Κινοῦντες τὰ δόρατα, ὀργῆς δὲ ἕκαστος ἐπληροῦτο.
ΖΕΥΣ ΔΕ ΘΕΟΥΣ ΚΑΛΕΣΑΣ ΕΙΣ ΟΥΡΑΝΟΝ ΑΣΤΕΡΟΕΝΤΑ,
Ζεὺς δὲ συγκαλέσας τοὺς Θεοὺς εἰς τὸν τοὺς ἀστέρας ἔχοντα οὐρανὸν,
ΚΑΙ ΠΟΛΕΜΟΥ ΠΛΗΘΗΝ ΔΕΙΞΑΣ, ΚΡΑΤΕΡΟΥΣ ΤΕ ΜΑΧΗΤΑΣ
Καὶ δείξας τὸ πλῆθος τοῦ πολέμου καὶ τοὺς ἀνδρείους πολεμιστὰς
ΠΟΛΛΟΥΣ ΚΑΙ ΜΕΓΑΛΟΥΣ, ΗΓ᾽ ΕΓΧΕΑ ΜΑΚΡΑ ΦΕΡΟΝΤΑΣ·
Πολυπληθεῖς ὄντας καὶ εὐμεγέθεις, καὶ δόρατα ἐπὶ μάχῃ ἔχοντας·

ΩΣ ΒΑΤΡΑΧΩΝ ΣΤΡΑΤΟΣ ΕΥΤ' ΕΓΕΜΟΝΤΟ ΓΙΓΑΝΤΩΝ,
Ὅπως ὁ τῶν βατράχων στρατὸς καλῶς ἦν πλήρης Γιγάντων,
ΚΕΝΤΑΥΡΩΝ ΜΕΓΑΛΑΥΧΩΝ ΜΥΕΣ Δ'ΗΣΑΝ ὉΜΟΙΟΙ,
Καὶ οἱ μῦες ἐτύγχανον ὅμοιοι Κενταύρων μεγαλοφόνων ϗ ἀλαζόντων·
ΟἹΟΣ ΚΕΝΤΑΥΡΩΝ ΣΤΡΑΤΟΣ ΕΡΧΕΤΑΙ ΗΔΕ ΓΙΓΑΝΤΩΝ,
Οἷον δὴ τὸ Κενταύρων ϗ Γιγάντων πορεύεται στράτευμα·
ΗΔΥ ΓΕΛΩΝ ΕΡΕΕΙΝΕ ΤΙΝΕΣ ΒΑΤΡΑΧΟΙΣΙΝ ΑΡΩΓΟΙ,
Ἡδέως γελῶν ἤρετο τίνες βατράχοις βοηθοὶ,
Η ΜΥΣΙ ΤΕΙΡΟΜΕΝΟΙΣ, ΚΑΙ ΑΘΗΝΑΙΗΝ ΠΡΟΣΕΕΙΠΕΝ.
Ἢ τοῖς μυσὶ καταπονουμένοις εἰσὶ, ϗ πρὸς τὴν Ἀθηνᾶν εἶπεν.
ΩΘΥΓΑΤΕΡ, ΜΥΣΙΝ ΑΡΑ ΒΟΗΘΗΣΟΥΣΑ ΠΟΡΕΥΣΗ;
Ὦ θύγατερ ἦπου βοηθήσουσα μυσὶν ἀπέρχῃ;
ΚΑΙ ΓΑΡ ΣΟΥ ΚΑΤΑ ΝΗΟΝ ΑΕΙ ΣΚΙΡΤΩΣΙΝ ἍΠΑΝΤΕΣ,
Καὶ γὰρ ἐν τῷ σῷ ναῷ χορεύουσιν ἅπαντες ἀεὶ
ΚΝΙΣΣΗι ΤΕΡΠΟΜΕΝΟΙ, ΚΑΙ ΕΔΕΣΜΑΣΙ ΠΑΝΤΟΔΑΠΟΙΣΙ.
Λίπει εὐφραινόμενοι, ϗ ὄψοις διαφόροις τε ϗ πολλοῖς.
ΩΣ ΑΡ'ΕΦΗ ΚΡΟΝΙΔΗΣ. ΤΟΝ ΔΕ ΠΡΟΣΕΕΙΠΕΝ ΑΘΗΝΗ.
Οὕτω δὴ εἶπεν ὁ τοῦ Κρόνου υἱὸς· πρὸς αὐτὸν δὲ εἶπεν ἡ Ἀθηνᾶ.
Ω ΠΑΤΕΡ· ΟΥΚ ΑΝ ΠΩΠΟΤ'ΕΓΩ ΜΥΣΙ ΤΕΙΡΟΜΕΝΟΙΣΙΝ
Ὦ πάτερ, οὐδέποτ' ἂν ἐγὼ τοῖς μυσὶ νικομένοις ϗ καταπονουμένοις
ΕΛΘΟΙΜΗΝ ΕΠΑΡΩΓΟΣ, ΕΠΕΙ ΚΑΚΑ ΠΟΛΛΑ Μ'ΕΟΡΓΑΝ·
Παραγενοίμην βοηθὸς, ἐπειδὴ πολλὰ δεινά με εἰργάσαντο,
ΣΤΕΜΜΑΤΑ ΒΛΑΠΤΟΝΤΕΣ ΚΑΙ ΛΥΧΝΟΥΣ ἘΙΝΕΚ'ΕΛΑΙΟΥ.
Τοὺς στεφάνους ϗ τὰ διαδήματα καταλύοντες ϗ τοὺς λίχνους χάριν τοῦ ἐλαίου·
ΤΟΥΤΟ ΔΕ ΜΟΙ ΛΙΗΝ ΕΔΑΚΕ ΦΡΕΝΑΣ, ΟἹΑ Μ'ΕΡΕΞΑΝ·
Τοῦτο δὲ λίαν ἔπληξε τὴν ἐμὴν διάνοιαν, ὦ οἷα με εἰργάσαντο,
ΠΕΠΛΟΝ ΜΟΥ ΚΑΤΕΤΡΩΞΑΝ ὉΝ ΕΞΥΦΗΝΑ ΚΑΜΟΥΣΑ
Τὸν πέπλον μου κατέφαγον ὃν πονήσασα ὕφανα
ΕΚ ΡΟΔΑΝΗΣ ΛΕΠΤΗΣ, ΚΑΙ ΣΤΗΜΟΝΑ ΛΕΠΤΟΝ ΕΝΗΣΑ,
Ἐκ κρόκης λεπτῆς, ϗ στήμονα λεπτὸν ἔκλωσα,
ΚΑΙ ΤΡΩΓΛΑΣ ΕΤΕΛΕΣΑΝ· Ὁ Δ'ΗΠΗΤΗΣ ΜΟΙ ΕΠΕΣΤΗ,
Καὶ τρύπας ἐποίησαν, ὁ ῥάπτης δέ μοι παρεγένετο,

ΚΑΙ ΠΟΛΥ ΜΕ ΠΡΑΣΣΕΙ, ΤΟΥΤΟΥ ΧΑΡΙΝ ΕΞΩΡΓΙΣΟΜΑΙ.
*Καὶ ἀπαιτεῖ με πολύ· τούτου ἕνεκα ἐθυμώθην*
ΧΡΗΣΑΜΕΝΗ ΓΑΡ ΕΝΗΣΑ, ΚΑΙ ΟΥΚ ΕΧΩ ΑΝΤΑΠΟΔΟΥΝΑΙ,
*Δανεισαμένη γὰρ ἔκλωσα, καὶ νῦν οὐκ ἔχω ἀποδοῦναι,*
ΚΑΙ ΠΡΑΣΣΕΙ ΜΕ ΤΟΚΟΝ, ΤΟΓ' ΕΡΙΠΟΝΟΝ ΑΘΑΝΑΤΟΙΣΙΝ.
*Καὶ ἀπαιτεῖ με τόκον καὶ γινόμενον, τὸ δὴ φοβερόν ἐστι τοῖς ἀθανάτοις θεοῖς.*
ΑΛΛ' ΟΥΔ' ΩΣ ΒΑΤΡΑΧΟΙΣΙΝ ΑΡΗΓΕΜΕΝ ΜΕΝ ΒΟΥΛΥΣΩ,
*Οὐ μὴν ἀλλ' οὐδὲ οὕτως τοῖς βατράχοις βοηθεῖν ἐθελήσω·*
ΕΙΣΙ ΓΑΡ ΟΥΔ' ΑΥΤΟΙ ΦΡΕΝΑΣ ΕΜΠΕΔΟΙ, ΑΛΛΑ ΜΕ ΠΡΩΗΝ
*Οὐδὲ γὰρ αὐτοὶ εἰσὶ βέβαιοι τὸν νοῦν, ἀλλά με πρότερον*
ΕΚ ΠΟΛΕΜΟΥ ΑΝΙΟΥΣΑΝ, ΕΠΕΙ ΛΙΗΝ ΕΚΟΠΩΘΗΝ,
*Ἐκ τοῦ πολέμου ἐπανερχομένην ἐπειδὴ σφόδρα κόπου ἐπλήσθην*
ΥΠΝΟΥ ΔΕΥΟΜΕΝΥΝ, ΟΥΚ ΕΙΑΣΣΑΝ ΘΟΡΥΒΟΥΝΤΕΣ
*Ὕπνου δεομένην οὐκ ἀφῆκαν θόρυβον καὶ ταραχὴν ποιοῦντες·*
ΟΥΔ' ΟΛΙΓΟΝ ΚΑΤΑΜΥΣΑΙ· ΕΓΩ Δ' ΑΥΠΝΟΣ ΚΑΤΕΚΕΙΜΗΝ,
*Οὐδ' ἐπὶ μικρὸν ἐπικλῖναι καὶ καταμύσαι τὰ βλέφαρα· ἐγὼ δὲ ἄγρυπνος κατεκείμην*
ΤΗΝ ΚΕΦΑΛΗΝ ΑΛΓΟΥΣΑ, ΕΩΣ ΕΒΟΗΣΕΝ ΑΛΕΚΤΩΡ.
*Τὴν κεφαλὴν ὀδυνωμένη ἕως ἐφώνησεν ὁ ἀλεκτρυών.*
ΑΛΛ' ΑΓΕ ΠΑΥΣΩΜΕΣΘΑ, ΘΕΟΙ, ΤΟΥΤΟΙΣΙΝ ΑΡΗΓΕΙΝ,
*Ἀλλ' ἄγετε λήξωμεν, ὦ Θεοὶ, τούτοις βοηθεῖν*
ΜΗ ΚΕ ΤΙΣ ΗΜΕΙΩΝ ΤΡΩΘΗΙ ΒΕΛΕΙ ΟΞΥΟΕΝΤΙ·
*Μή τις ἡμῶν πληγῇ βέλει ὀξεῖ καὶ τμητικῷ,*
ΜΗ ΤΙΣ ΚΑΙ ΛΟΓΧΗΙ ΤΥΠΗΙ ΔΕΜΑΣ ΗΕ ΜΑΧΑΙΡΑΙ·
*Μή τις καὶ δόρατι τὸ σῶμα τρωθῇ ἢ ξίφει,*
ΕΙΣΙ ΓΑΡ ΑΓΧΕΜΑΧΟΙ, ΚΑΙ ΕΙ ΘΕΟΣ ΑΝΤΙΟΝ ΕΛΘΟΙ·
*Εἰσὶ γὰρ οἷοι ἐκ τοῦ σύνεγγυς μάχεσθαι, εἰ καὶ ὁ θεὸς ἐναντίον παραγένοιτο,*
ΠΑΝΤΕΣ Δ' ΟΥΡΑΝΟΘΕΝ ΤΕΡΠΩΜΕΘΑ ΔΗΡΙΝ ΟΡΩΝΤΕΣ.
*Πάντες δὲ ἐκ τοῦ οὐρανοῦ τὴν μάχην θεώμενοι εὐφραινώμεθα καὶ ἀγαλλώμεθα.*
ΩΣ ΑΡ' ΕΦΗ· ΤΗΙ Δ' ΑΥΤΕ ΠΕΠΕΙΘΟΝΤΟ ΘΕΟΙ ΑΛΛΟΙ
*Οὕτως εἶπεν· ταύτῃ δὲ ἐπείσθησαν οἱ ἄλλοι θεοί·*
ΠΑΝΤΕΣ, ΟΜΩΣ ΔΕ ΑΟΛΛΕΕΣ ΗΛΥΘΟΝ ΕΣ ΕΝΑ ΧΩΡΟΝ·
*Σύμπαντες δὲ οἱ ὁμόθεν ἀθρόοι συνῆλθον εἰς ἕνα τόπον.*

ΚΑΔ Δ'ΗΛΘΟΝ ΚΗΡΥΚΕ ΤΕΡΑΣ ΠΟΛΕΜΟΙΟ ΦΕΡΟΝΤΕ.
*Κατῆλθον δὲ οἱ κήρυκες τὸ τοῦ πολέμου σύνθημα φέροντες.*
ΚΑΙ ΤΟΤΕ ΚΩΝΩΠΕΣ ΜΕΓΑΛΑΣ ΣΑΛΠΙΓΓΑΣ ΕΧΟΝΤΕΣ
*Καὶ τότε δὴ κώνωπες μεγάλας σάλπιγγας φέροντες*
ΔΕΙΝΟΝ ΕΣΑΛΠΙΖΟΝ ΠΟΛΕΜΟΥ ΚΤΥΠΟΝ· ΟΥΡΑΝΟΘΕΝ ΔΕ
*Φοβερὸν ἐσάλπιζον κτύπον πολέμου ϗ μάχης· ἐκ τοῦ οὐρανοῦ δὲ*
ΖΕΥΣ ΚΡΟΝΙΔΗΣ ΒΡΟΝΤΗΣΕ ΤΕΡΑΣ ΠΟΛΕΜΟΙΟ ΚΑΚΟΙΟ.
*Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου ἐβρόντησε σημεῖον πολέμου χαλεποῦ.*
ΠΡΩΤΟΣ Δ'ΥΨΙΒΟΑΣ ΛΕΙΧΗΝΟΡΑ ΟΥΤΑΣΕ ΔΟΥΡΙ,
*Πρῶτος δὲ Ὑψιβόας δόρατι ἔτρωσεν Λειχήνορα,*
ΕΣΤΑΟΤ'ΕΝ ΠΡΟΜΑΧΟΙΣ ΚΑΤΑ ΓΑΣΤΕΡΑ ΕΙΣ ΜΕΣΟΝ ΗΠΑΡ·
*Ἑστῶτα ἐν τοῖς πρωταγωνισταῖς, παρὰ τὴν γαστέρα εἰς τὸ μέσον τοῦ ἥπατος*
ΚΑΔ Δ'ΕΠΕΣΕΝ ΠΡΗΝΗΣ, ΑΠΑΛΑΣ Δ'ΕΚΟΝΙΣΣΕΝ ΕΘΕΙΡΑΣ.
*Κατέπεσε δὲ ἐπὶ πρόσωπον, τὰς ἁπαλὰς δὲ τρίχας ἐνέφυρε τῇ κόνῃ.*
ΤΡΩΓΛΟΔΥΤΗΣ ΔΕ ΜΕΤ'ΑΥΤΟΝ ΑΚΟΝΤΙΣΕ ΠΗΛΕΙΩΝΑ.
*Τρωγλοδύτης δὲ μετ' αὐτὸν ἔβαλε τὸν Πηλέως υἱὸν,*
ΠΗΞΕΝ ΔΕ ΕΝ ΣΤΕΡΝΩΙ ΣΤΙΒΑΡΟΝ ΔΟΡΥ, ΤΟΝ ΔΕ ΠΕΣΟΝΤΑ
*Ἔπηξε δὲ ἐν τῷ στήθει τὸ στερεὸν δόρυ, πεσόντα δὲ αὐτὸν*
ΕΙΛΕ ΜΕΛΑΣ ΘΑΝΑΤΟΣ, ΨΥΧΗ Δ'ΕΚ ΣΩΜΑΤΟΣ ΕΠΤΗ.
*Κατέληφεν ὁ σκοτεινὸς θάνατος, ἡ ψυχὴ δὲ ἀπέπτη, ϗ ᾤχετο ἐκ τοῦ σώματος.*
ΣΕΥΤΛΑΙΟΣ Δ'ΑΡ'ΕΠΕΦΝΕ ΒΑΛΩΝ ΚΕΑΡ ΕΜΒΑΣΙΧΥΤΡΟΝ.
*Σευτλαῖος δὲ τρώσας Ἐμβασίχυτρον παρὰ τὴν καρδίαν ἀνεῖλεν·*
ΑΡΤΟΦΑΓΟΣ ΔΕ ΠΟΛΥΦΩΝΟΝ ΚΑΤΑ ΓΑΣΤΕΡΑ ΤΥΨΕΝ·
*Ἀρτοφάγος δὲ ἔπληξε κατὰ τὴν γαστέρα Πολύφωνον,*
ΗΡΙΠΕ ΔΕ ΠΡΗΝΗΣ, ΨΥΧΗ ΔΕ ΜΕΛΕΩΝ ΕΞΕΠΤΗ.
*Ἔπεσε δὲ ἐπὶ πρόσωπον, ἡ ψυχὴ δὲ ἀπέπτη ϗ ᾤχετο ἀπὸ τῶν μελῶν.*
ΛΙΜΝΟΧΑΡΙΣ Δ'ΩΣ ΕΙΔΕΝ ΑΠΟΛΛΥΜΕΝΟΝ ΠΟΛΥΦΩΝΟΝ,
*Λιμνόχαρις δὲ ἐπειδὴ ἐθεάσατο τὸν Πολύφωνον ἀνῃρημένον,*
ΤΡΩΓΛΟΔΥΤΗΝ ΑΠΑΛΟΙΟ ΔΙ'ΑΥΧΕΝΟΣ ΤΡΩΣΕΝ ΕΠΙΣΤΑΣ
*Ἐπελθὼν ἔπληξε τὸν Τρωγλοδύτην κατὰ τὸν ἁπαλὸν τράχηλον*
ΠΕΤΡΩΙ ΜΥΛΟΕΙΔΕΙ, ΤΟΝ ΔΕ ΣΚΟΤΟΣ ΟΣΣ'ΕΚΑΛΥΨΕ.
*Λίθῳ στρογγύλῳ τε ϗ τραχεῖ, σκότος δὲ αὐτὸν κατὰ ὀφθαλμοὺς περιεκάλυψε.*

ΤΡΩΓΛΗΤΗΣ Δ'ΑΡ'ΕΠΕΦΝΕ ΒΡΕΚΑΙΚΙΣΤΑ ΕΣΘΛΟΝ ΑΙΞΑΣ,
Τρωγλήτης δὲ ἐφορμήσας ἀπέκτεινε Βρεκαίκισ̓α ἀγαθ' ᾗ ἀνδρέιας
ΩΚΙΜΙΔΗΝ Δ'ΑΧΟΣ ΕΙΛΕ, ΚΑΙ ΗΛΑΣΕΝ ΟΞΕΙ ΣΧΟΙΝΩΙ,
Ὠκιμίδην δὲ κατέληφε λύπη μεγάλη ᾗ ἔβαλε τῷ ὀξεῖ σχοίνῳ,
ΑΛΛ' Ο ΜΕΝ ΕΣΠΑΣΕΝ ΕΓΧΟΣ, ΕΦΩΡΜΗΣΑΝ ΔΕ ΕΠ'ΑΥΤΩι·
Α'λλ' οὗτος ἔσπασε μὲν τὸ δόρυ, ὥρμησαν δὲ ἐπ' αὐτὸν
ΟΥ Δ'ΑΥ ΗΧΕΝ Ο Γ'ΕΓΧΟΣ ΕΝΑΝΤΙΟΝ, ΗΡΙΠΕ Δ'ΕΥΘΥΣ·
Οὐδ' αὖθις ἀφῆκεν οὗτος γε ἐναντίον, τὸ δόρυ παραχρῆμα γάρ τοι κατέπεσε
ΛΕΙΧΥΝΩΡ Δ'ΑΡΑ ΚΟΣΤΟΦΑΓΟΙΟ ΤΙΤΥΣΚΕΤΟ ΔΟΥΡΙ.
Λειχήνωρ δὲ Κοστοφάγου κατεστοχάζετο δόρατι·
ΟΥΤΟΣ Δ'ΩΣ ΕΝΟΗΣΕΝ ΦΕΥΓΩΝ ΕΜΠΕΣΕΝ ΟΧΘΑΙΣ,
Οὗτος δὲ ἐπειδὴ ἐθεάσατο φεύγων ἐνέπεσε εἰς τὰς ὄχθας,
ΑΛΛ'ΟΥΔ'ΩΣ ΑΠΕΛΗΓΕΝ, ΕΝ ΥΔΑΣΙ Δ'ΗΛΑΣΕΝ ΑΥΤΟΝ·
Α'λλ' οὐδὲ οὕτως ἐπαύετο αὐτὸς· ἀλλ' ἐν τῷ ὕδατι ἔτρωσεν αὐτόν.
ΚΑΠΠΕΣΕ Δ', ΟΥΚ ΑΝΕΝΕΥΣΕΝ· ΕΒΑΠΤΕΤΟ Δ'ΑΙΜΑΤΙ ΛΙΜΝΗ
Κατέπεσε δὲ οὐδὲ ἀνέκυψεν ἔτι, ἐβάπτετο δὲ ἡ λίμνη τῷ αἵματι
ΠΟΡΦΥΡΕΩι, ΑΥΤΟΣ ΔΕ ΠΑΡ'ΗΙΟΝ ΕΞΕΤΑΝΥΣΘΗ.
Τῷ πορφυρῷ· αὐτὸς δὲ ἐπὶ τὴν παρειὰν πεσὼν ἐξήπλωτο,
ΧΟΡΔΑΙΣΙ ΛΙΠΑΡΑΙΣΙΝ ΕΠΟΡΝΥΜΕΝΟΣ ΛΑΓΟΝΕΣΣΙ.
Ε'πὶ χολάσι πίοσιν ἐπισαλεύων τοῖς λαγόσιν.
ΤΥΡΟΓΛΥΦΟΝ Δ'ΕΠ'ΟΧΘΑΙΣ ΛΙΜΝΗΣΙΟΣ ΕΞΕΝΑΡΙΞΕ.
Τυρόγλυφον δὲ παρὰ ταῖς ὄχθαις Λιμνήσιος ἀπέκτεινεν,
ΠΤΕΡΝΟΓΛΥΦΟΝ ΔΕ ΙΔΩΝ ΚΑΛΑΜΙΝΘΙΟΣ ΕΙΣ ΒΑΘΟΣ ΗΛΘΕ,
Πτερνόγλυφον δὲ θεασάμενος ὁ Καλαμίνθιος κατέδυ εἰς τὸ βάθος,
ΗΛΑΤΟ Δ'ΕΣ ΛΙΜΝΗΝ ΦΕΥΓΩΝ, ΤΗΝ ΑΣΠΙΔΑ ΡΙΨΑΣ.
Ε'πήδησε δὲ εἰς τὴν λίμνην φεύγων τὴν ἀσπίδα ἀποῤῥίψας·
ΦΙΤΡΑΙΟΝ Δ'ΑΡ'ΕΠΕΦΝΕΝ ΑΜΥΜΩΝ ΕΜΒΑΣΙΚΥΤΡΟΣ.
Φυτραῖον δὲ ἀπέκτεινε ὁ βέλτιστος Ε'μβασίχυτρος·
ΥΔΡΟΧΑΡΙΣ Δ'ΕΠΕΦΝΕ ΠΤΕΡΝΟΦΑΓΟΝ ΒΑΣΙΛΗΑ.
Ὑδρόχαρις δὲ ἀνεῖλε Πτερνοφάγον τὸν βασιλέα,
ΧΕΡΜΑΔΙΩι ΠΛΗΞΑΣ ΚΑΤΑ ΒΡΕΓΜΑΤΟΣ· ΕΓΚΕΦΑΛΟΣ ΔΕ,
Παίσας αὐτὸν λίθῳ χειρολήπτῃ κατὰ τὸ ὑπερμετώπιον· ὁ Ε'γκέφαλος δὲ

ΕΚ ῬΗΝΩΝ ΕΣΤΑΖΕ, ΠΑΛΑΣΣΕΤΟ Δ' ΑἽΜΑΤΙ ΓΑΙΑ.
Κατεστάλαξεν ἀπὸ τῶν ῥινῶν· διεβρέχετο δὲ ϗ ἐφύρετο ἡ γῆ τῷ αἵματι.
ΛΕΙΧΟΠΙΝΑΞ Δ' ΕΚΤΕΙΝΕΝ ΑΜΥΜΟΝΑ ΒΟΡΒΟΡΟΚΟΙΤΗΝ,
Λειχοπίναξ δὲ ἀνεῖλεν τὸν ἄμεμπτον Βορβοροκοίτην
ΕΓΧΕΙ ΕΠΑΙΞΑΣ· ΤΟΝ ΔΕ ΣΚΟΤΟΣ ΟΣΣ' ΕΚΑΛΥΨΕ.
Δόρατι ἐφορμήσας· σκοτία δὲ αὐτὸν κατὰ τοὺς ὀφθαλμοὺς περιεκάλυψεν.
ΠΡΑΣΣΟΦΑΓΟΣ Δ' ΕΣΙΔΩΝ, ΠΟΔΟΣ ΕἼΛΚΥΣΕ ΝΕΚΡΟΝ ΕΟΝΤΑ
Πρασσοφάγος δὲ θεασάμενος εἵλκυσεν αὐτὸν ἀπὸ τοῦ ποδὸς νεκρὸν ὄντα,
ΕΝ ΛΙΜΝΗΙ Δ' ΑΠΕΘΗΚΕ, ΚΡΑΤΗΣΑΣ ΧΕΙΡΙ ΤΕΝΟΝΤΑ.
Καὶ κατέθηκεν ἐν τῇ λίμνῃ· περιλαβὼν τὸν τένοντα αὐτοῦ τῇ χειρί.
ΨΙΧΑΡΠΑΞ Δ' ΗΜΥΝ' ΕΤΑΡΩΝ ΠΕΡΙ ΤΕΘΝΕΙΩΤΩΝ,
Ψιχάρπαξ δὲ ἐπεβοήθει μαχόμενος ὑπὲρ τῶν ἀποθανόντων φίλων,
ΚΑΙ ΒΑΛΕ ΠΡΑΣΣΑΙΟΝ, ΜΗΠΩ ΓΑΙΗΣ ΕΠΙΒΑΝΤΑ·
Καὶ ἔτρωσε τὸν Πρασσαῖον μήπω εἰς γῆν ἐλθόντα
ΠΙΠΤΕ ΔΕ ΟἹ ΠΡΟΣΘΕΝ· ΨΥΧΗ Δ' ΑΙΔΟΣ ΔΕ ΒΕΒΗΚΕΙ.
Ἔπεσε δὲ ἔμπροσθεν· αὐτοῦ δὲ ἡ ψυχὴ ᾤχετο ἔξω.
ΠΗΛΟΒΑΤΗΣ Δ' ΕΣΙΔΩΝ, ΠΗΛΟΥ ΔΡΑΚΑ ΡΙΨΕΝ ΕΠ' ΑΥΤΩΙ,
Πηλοβάτης δὲ θεασάμενος πηλοῦ ὅσον δράξαι τῇ χειρὶ ἔῤῥιψεν ἐπ' αὐτὸν,
ΚΑΙ ΤΟ ΜΕΤΩΠΟΝ ΕΧΡΙΣΕ, ΚΑΙ ΕΞΕΤΥΦΛΟΥ ΠΑΡΑ ΜΙΚΡΟΝ.
Καὶ ἔχρισε τὸ μέτωπον, ϗ παρ' ὀλίγον ἐξετύφλωσεν.
ΩΡΓΙΣΤΗ Δ' ΑΡ' ΕΚΕΙΝΟΣ· ἙΛΩΝ ΔΕ ΓΕ ΧΕΙΡΙ ΠΑΧΕΙΗΙ
Ἐθυμώθη δὲ ἐκεῖνος, ϗ λαβὼν τῇ παχείᾳ ϗ ἰσχυρᾷ χειρὶ
ΚΕΙΜΕΝΟΝ ΕΝ ΓΑΙΗΙ ΛΙΘΟΝ ΟΒΡΙΜΟΝ, ΑΧΘΟΣ ΑΡΟΥΡΗΣ,
Λίθον κείμενον ἐν τῇ γῇ, μέγα βάρος γῆς,
ΤΩΙ ΒΑΛΕ ΠΗΛΟΒΑΤΗΝ ὙΠΟ ΓΟΥΝΑΤΑ· ΠΑΣΑ Δ' ΕΚΛΑΣΘΗ
Τούτῳ ἔπαισε τὸν Πηλοβάτην κατὰ τὰ γόνατα· πᾶσα δὲ συνετρίβη
ΚΝΗΜΗ ΔΕΞΙΤΕΡΗ, ΠΕΣΕ Δ' ὙΠΤΙΟΣ ΕΝ ΚΟΝΙΗΙΣΙ.
Ἡ δεξιὰ κνήμη· ἔπεσε δὲ ἐπὶ τὰ μετάφρενα ἐν τῇ κόνει.
ΚΡΑΥΓΑΣΙΔΗΣ Δ' ΗΜΥΝΕ, ΚΑΙ ΟΥ̓́ΤΩ ΒΑΙΝΕΝ ΕΠ' ΑΥΤΩΙ·
Κραυγασίδης δὲ ἐπεβοήθει, ϗ οὕτως ἐπῆλθε κατ' αὐτοῦ.
ΤΥΨΕ ΜΕΣΗΝ Δ' ΑΥΤΟΝ ΚΑΤΑ ΓΑΣΤΕΡΑ, ΠΑΣ ΔΕ ΟἹ ΕΙΣΩ
Ἔπαισε δὲ κατὰ τὸ μέσον τῆς γαστρὸς αὐτοῦ· πᾶς δὲ αὐτῷ εἰς τὸ ἔνδον

ΟΞΥΣΧΟΙΝΟΣ ΔΥΝΕ· ΧΑΜΑΙ Δ'ΕΚΧΥΝΤΟ ΑΠΑΝΤΑ
Ὁ ὀξὺς σχοῖνος εἰσῆλθεν· ἐπὶ τὴν γῆν δὲ ἐξεχύθη πάντα
ΕΓΚΑΤ'ΕΦΕΛΚΟΜΕΝΩι ΥΠΟ ΔΟΥΡΑΤΙ ΧΕΙΡΙ ΠΑΧΕΙΗι.
Τὰ ἐντὸς ὑπὸ τοῦ δόρατος ἀποσπωμένου χειρὶ παχέᾳ καὶ ἰσχυρᾷ.
ΣΙΤΟΦΑΓΟΣ Δ'ΩΣ ΕΙΔΕΝ ΕΠ'ΟΧΘΗΙΣΙΝ ΠΟΤΑΜΟΙΟ,
Σιτοφάγος δὲ ἐπειδὴ ἐθεάσατο παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ
ΣΚΑΖΩΝ ΕΚ ΠΟΛΕΜΟΥ ΑΝΕΧΑΖΕΤΟ, ΤΕΙΡΕΤΟ Δ'ΑΙΝΩΣ·
Ὁρμῶν ἐκ τοῦ πολέμου ἀνεχώρει, κατεπονεῖτο δὲ χαλεπῶς.
ΗΛΑΤΟ Δ'ΕΣ ΤΑΦΡΟΝ, ΟΠΠΩΣ ΦΥΓΗ ΑΙΠΥΝ ΟΛΕΘΡΟΝ.
Ἐπήδησε δὲ εἰς τὴν τάφρον, ἵνα διαφύγῃ τὸν ἀφανιστικὸν θάνατον.
ΤΡΩΞΑΡΤΗΣ Δ'ΕΒΑΛΕΝ ΦΥΣΙΓΝΑΘΟΝ ΕΣ ΠΟΔΑ ΑΚΡΟΝ·
Τρωξάρτης δὲ ἔτρωσε τὸν Φυσίγναθον εἰς τὸ ἄκρον τοῦ ποδός.
ΕΣΧΑΤΟΣ Δ'ΕΚ ΛΙΜΝΗΣ ΑΝΕΔΥΣΑΤΟ, ΤΕΙΡΕΤΟ Δ'ΑΙΝΩΣ.
Τελευταῖος δὲ ἐκ τῆς λίμνης ἀνέβη, κατεπονεῖτο δὲ χαλεπῶς.
ΠΡΑΣΣΑΙΟΣ Δ'ΩΣ ΕΙΔΕΝ ΕΘ'ΗΜΙΠΝΟΥΝ ΠΡΟΠΕΣΟΝΤΑ,
Πρασσαῖος δὲ ἐπειδὴ ἐθεάσατο Προπεσόντα ἔτι τὰ τελευταῖα ἀπνέοντα,
ΗΛΘΕ ΔΙΑ ΠΡΟΜΑΧΩΝ, ΚΑΙ ΑΚΟΝΤΙΣΕΝ ΟΞΕΙ ΣΧΟΙΝΩι·
Ἐπορεύθη διὰ τῶν πρωταγωνιστῶν, καὶ ἔβαλε σχοίνῳ ὀξεῖ·
ΟΥΔ'ΕΡΡΗΞΕ ΣΑΚΟΣ, ΣΧΕΤΟ Δ'ΑΥΤΟΥ ΔΟΥΡΟΣ ΑΚΩΚΗ.
Οὐδ' ἔσχισε τὴν ἀσπίδα, ἀλλ' ἐπεσχέθη αὐτόθι ἡ τοῦ δόρατος αἰχμή.
ΤΟΥ Δ'ΕΒΑΛΕ ΤΡΥΦΑΛΕΙΑΝ ΑΜΥΜΟΝΑ, ΚΑΙ ΤΕΤΡΑΧΥΤΡΟΝ
Τούτου δὲ ἀμώμητον καὶ τετράχυτρον ἔπαισε κράνος
ΔΙΟΣ ΟΡΗΓΑΝΙΩΝ ΜΙΜΟΥΜΕΝΟΣ ΑΥΤΟΝ ΑΡΗΑ,
Ὁ ἔνδοξος Ὀριγανίων, μιμούμενος τὸν Ἄρεα αὐτὸν τὸν Θεόν,
ΟΣ ΜΟΝΟΣ ΕΝ ΒΑΤΡΑΧΟΙΣΙΝ ΑΡΙΣΤΕΝ ΕΝ ΚΑΘ'ΟΜΙΛΟΝ
Ὃς δὴ μόνος ἐν τοῖς βατράχοις ἠνδραγάθει κατὰ τὸν στρατὸν
ΩΡΜΗΣΑΝ Δ'ΑΡ'ΕΠ'ΑΥΤΟΝ· Ο Δ'ΩΣ ΙΔΕΝ ΟΥΧ ΥΠΕΜΕΙΝΕΝ
Ὥρμησαν δὴ οὖν ἐπ' αὐτόν· οὗτος δὲ ἐπειδὴ ἐθεάσατο οὐκ ἔτλη καρτερῶν
ΗΡΟΑΣ ΚΡΑΤΑΙΟΥΣ· ΑΛΛ'ΕΔΥ ΒΕΝΘΕΑ ΛΙΜΝΗΣ.
Τοὺς ἀνδρείους ἥρωας· ἀλλὰ κατέβη εἰς τὸ βάθος τῆς λίμνης
ΗΝ ΔΕ ΤΙΣ ΕΝ ΜΥΕΣΣΙ ΝΕΟΣ ΠΑΙΣ ΕΞΟΧΟΣ ΑΛΛΩΝ,
Ἦν δέ τις ἐν τοῖς μυσὶ νέος διαφέρων τῶν ἄλλων,

ΑΓΧΕΜΑΧΟΣ, ΦΙΛΟΣ ΥἹΟΣ ΑΜΥΜΟΝΟΣ ΑΡΤΕΠΙΒΟΥΛΟΥ,
Δόρατι μαχόμενος ἀεὶ, ὑιὸς ἀγαπητὸς τοῦ βελτίστου Ἀρτεπιβούλυ,
ΜΟΙΡΩΝΑΡΠΑΞ ΟΡΧΑΜΟΣ ΑΙΝΩΙ ΙΣΟΣ ΑΡΗΙ.
Μοιρωνάρπαξ ἡγεμὼν ὅμοιος τῷ φοβερῷ Ἄρει.
ὍΣ ΡΑ ΙΩΝ ΠΟΛΕΜΟΙΟ ΜΕΤΑΣΧΕΙΝ ΠΑΙΔ᾽ ΕΚΕΛΕΥΣΕΝ·
Ὃς δὴ ἐπελθὼν ἐκέλευσε τὸν ὑιὸν μετασχεῖν τοῦ πολέμου·
ΑΥΤΟΣ Δ᾽ ΕΣΤΗΚΕΙ ΜΕΓΑΛΟΦΡΟΝΕΩΝ ΚΑΤΑ ΛΙΜΝΗΝ·
Αὐτὸς δὲ ἵστατο μέγα φρονῶν κ̣ ἐπαιρόμενος κατὰ τὴν λίμνην·
ΟὟΤΟΣ ΑΝΑΡΠΑΞΑΙ ΒΑΤΡΑΧΩΝ ΓΕΝΟΣ ΕΠΗΠΕΙΛΕΙ
Οὗτος ἀφανίσαι τὸ γένος τῶν βατράχων διετείνετο,
ΚΑΙ ΡΗΞΑΣ ΚΑΡΥΟΥ ΜΕΣΣΗΝ ΡΑΧΗΝ ΕΙΣ ΔΥΟ ΜΕΡΗ
Καὶ σχίσας ἀναμέσον τὴν ῥάχην τοῦ καρύου εἰς δύο μέρη,
ΦΡΑΓΔΗΝ ΑΜΦΟΤΕΡΟΙΣΙΝ ΕΝ ΩΜΟΙΣΙ ΧΕΡΣΙΝ ΕΘΗΚΕ.
Ἔθηκε ταῖς χερσὶν ἐπίφραγμα ἐν ἀμφοτέροις τοῖς ὤμοις.
ΟἹ ΔΕ ΤΑΧΟΣ ΔΕΙΣΑΝΤΕΣ ΕΒΑΝ ΠΑΝΤΕΣ ΚΑΤΑ ΛΙΜΝΗΝ.
Οὗτοι δὲ παραχρῆμα φοβηθέντες ἔδραμον πάντες πρὸς τὴν λίμνην,
ΚΑΙ ΝΥΚΕΝ ΕΞΕΤΕΛΕΣΣΕΝ, ΕΠΕΙ ΜΕΓΑ ΟἹ ΣΘΕΝΟΣ ΗΕΝ,
Καὶ δὴ ἐτελείωσεν ἂν τὸ ἔργον ἐπειδὴ μεγάλη αὐτῷ δύναμις ἦν,
ΕΙ ΜΗ ΑΡ᾽ ΟΞΥ ΝΟΗΣΕ ΠΑΤΗΡ ΑΝΔΡΩΝ ΤΕ ΘΕΩΝ ΤΕ,
Εἰ μὴ τάχεως εἶδεν αὐτὸν ὁ πατὴρ τῶν ἀνδρῶν κ̣ τῶν Θεῶν,
ΚΑΙ ΤΟΤ᾽ ΑΠΟΛΛΥΜΕΝΟΥΣ ΒΑΤΡΑΧΟΥΣ ΩΙΚΤΕΙΡΕ ΚΡΟΝΙΩΝ
Καὶ τότε δὴ ἀπολλυμένυς τοὺς βατράχους ἐλέησεν ὁ τοῦ Κρόνου ὑιός.
ΚΙΝΗΣΑΣ ΔΕ ΚΑΡΗ, ΤΟΙΗΝ Δ᾽ ΕΦΘΕΓΞΑΤΟ ΦΩΝΗΝ.
Κινήσας δὲ τὴν κέφαλην, τοιαύτην ἀφῆκε φωνήν.
Ω ΠΟΠΟΙ, Η ΜΕΓΑ ΕΡΓΟΝ ΕΝ ΟΦΘΑΛΜΟΙΣΙΝ ὉΡΩΜΑΙ.
Φεῦ φεῦ· ὄντως που μέγα θαῦμα τοῦτο θεῶμαι τοῖς ὀφθαλμοῖς,
ΟΥ ΜΙΚΡΟΝ Μ᾽ ΕΠΛΗΞΕ ΜΕΡΙΔΑΡΠΑΞ, ὋΣ ΚΑΤΑ ΛΙΜΝΗΝ
Οὐ μετρίως με δάκνει κ̣ λύπει Μεριδάρπαξ, ὃς παρὰ τὴν λίμνην
ΕΝΝΑΙΡΕΙΝ ΒΑΤΡΑΧΟΥΣ ΒΛΕΜΕΑΙΝΩΝ· ΑΛΛΑ ΤΑΧΙΣΤΑ
Ἀποκτείνειν τοὺς βατράχους γαυριᾷ κ̣ ἐπαίρεται· ἀλλ᾽ ὅτι τάχος
ΠΑΛΛΑΔΑ ΠΕΜΨΩΜΕΝ ΠΟΛΕΜΟΚΛΟΝΟΝ, ΗΔΕ ΚΑΙ ΑΡΗΑ,
Παλλάδα ἀποστείλωμεν τὴν πολεμικήν, κ̣ τὸν Ἄρεα

ΟἹ ΜΙΝ ΑΠΟΣΧΗΣΟΥΣΙ ΜΑΧΗΣ ΚΡΑΤΕΡΟΝ ΠΕΡ ΕΟΝΤΑ.
Οἱ ἀποσβήσουσιν αὐτὸν τοῦ πολέμου καίπερ ὄντα ἰσχυρὸν κ̧ γενναῖον.
ὨΣ ΑΡ' ΕΦΗ ΚΡΟΝΙΔΗΣ· ΑΡΗΣ Δ' ΑΠΑΜΕΙΒΕΤΟ ΜΥΘΩι.
Οὕτως δὴ εἶπεν ὁ τοῦ Κρόνου ὑιὸς· ὁ Ἄρης δὲ ἀπεκρίνατο λέγων·
ΟΥΤ' ΑΡ' ΑΘΗΝΑΙΗΣ ΚΡΟΝΙΔΗ ΣΘΕΝΟΣ, ΟΥΤΕ ΑΡΗΟΣ
Οὐχ ἡ τῆς Ἀθηνᾶς δύναμις, ὦ ὑιὲ τοῦ Κρόνου, οὐδὲ τοῦ Ἄρεος
ΙΣΧΥΣΕΙ ΒΑΤΡΑΧΟΙΣΙΝ ΑΡΗΓΕΜΕΝ ΑΙΠΥΝ ΟΛΕΘΡΟΝ.
Δυνήσεται βοηθῆσαι τοῖς βατράχοις κ̧ ἀποσοβῆσαι τὸν χαλεπὸν θάνατον
ΑΛΛ' ΑΓΕ ΠΑΝΤΕΣ ΙΩΜΕΝ ΑΡΗΓΟΝΕΣ, Η ΤΟ ΣΟΝ ὉΠΛΟΝ
Ἀλλ' ἄγετε πάντες πορευθῶμεν εἰς βοήθειαν, ἢ τὸ σὸν ὅπλον
ΚΙΝΕΙΣΘΩ, ΟΥ̓ΤΩ ΓΑΡ ΑΛΩΣΕΤΑΙ ὉΣ ΚΕΝ ΑΡΙΣΤΟΣ
Κινηθήτω· οὕτω γὰρ κρατηθήσεται ὅστις ἂν κράτιστος ᾖ,
ὩΣ ΤΙΤΑΝΑΣ ΠΟΤΕ ΠΕΦΝΕΣ ΑΡΙΣΤΟΥΣ ΕΞΟΧΑ ΠΑΝΤΩΝ,
Ὥσπερ κ̧ τοὺς Τιτᾶνας τὸ πάλαι ἀνεῖλες κρατίστους ὄντας ὑπὲρ ἅπαντας;
ὩΣ ΠΟΤΕ ΚΑΤ' ΑΝΗΑ ΚΑΤΕΚΤΑΝΕΣ ΟΒΡΙΜΟΝ ΑΝΔΡΕΣ,
Ὥσπερ κ̧ ἐν νηὶ τὸ πάλαι ἀπέκτεινας ἄνδρα ἰσχυρὸν
ΚΑΙ ΚΕΛΑΔΟΝΤ' ΕΠΕΔΗΣΑΣ ΙΔ' ΑΓΡΙΑ ΦΥΛΑ ΓΙΓΑΝΤΩΝ.
Καὶ Κελάδοντα ἐδέσμευσας κ̧ τὰ ἄγρια γένη τῶν Γιγάντων.
ὩΣ ΑΡ' ΕΦΗ· ΚΡΟΝΙΔΗΣ Δ' ΕΒΑΛΕ ΨΟΛΟΕΝΤΑ ΚΕΡΑΥΝΟΝ.
Οὕτω δὴ εἶπεν· ὁ τοῦ Κρόνου δὲ ὑιὸς ἀφῆκε κεραυνὸν καυστικόν.
ΠΡΩΤΑ ΜΕΝ ΕΒΡΟΝΤΗΣΕ, ΜΕΓΑΝ Δ' ΕΛΕΛΙΞΕΝ ΟΛΥΜΠΟΝ,
Πρῶτον μὲν οὖν ἐβρόντησε, κ̧ τὸν μέγαν οὐρανὸν συνετάραξεν.
ΑΥΤΑΡ ΕΠΕΙΤΑ ΚΕΡΑΥΝΟΝ, ΔΕΙΜΑΛΕΟΝ ΔΙΟΣ ΟΠΛΟΝ
Ἔπειτα δὲ κεραυνὸν φοβερὸν ὅπλον Διὸς
ἩΚ' ΕΠΙΔΙΝΗΣΑΣ· Ὁ Δ' ΑΡ' ΕΠΤΑΤΟ ΧΕΙΡΟΣ ΑΝΑΚΤΟΣ.
Ἀφῆκε συστρέψας· οὗτος δὲ ἀπέπτη ἐκ τῆς χειρὸς τοῦ βασιλέως
ΠΑΝΤΑΣ ΜΕΝ Ρ' ΕΦΟΒΗΣΕ ΒΑΛΩΝ ΒΑΤΡΑΧΟΥΣ ΤΕ ΜΥΑΣ ΤΕ.
Πάντας μὲν οὖν εἰς φόβον κεραυνώσας ἐπὶ μόνους τοὺς μύας.
ΑΛΛ' ΟΥ Δ' ὩΣ ΑΠΕΛΗΓΕ ΜΥΩΝ ΣΤΡΑΤΟΣ, ΑΛΛ' ΕΤΙ ΜΑΛΛΟΝ
Οὐ μὴν, ἀλλ' οὐ δ' οὕτως ἀπεπαύετο ὁ στρατὸς τῶν μυῶν, ἀλλ' ἔτι μᾶλλον
ΕΛΠΕΤΟ ΠΡΟΘΗΣΕΙΝ ΒΑΤΡΑΧΩΝ ΓΕΝΟΣ ΑΙΧΜΗΤΑΩΝ,
Ἤλπιζεν ἀφανίσειν τὸ γένος τῶν βατράχων τῶν πολεμιστῶν,

ΕΙ ΜΗ ΑΠ'ΟΥΛΥΜΠΟΥ ΒΑΤΡΑΧΟΥΣ ΕΛΕΗΣΕ ΚΡΟΝΙΩΝ,
Εἰ μὴ ἐξ οὐρανοῦ ἠλέησε τοὺς βατράχους ὁ τοῦ Κρόνου υἱός.
ΟΣ ΤΙΣ ΤΕΙΡΟΜΕΝΟΙΣΙΝ ΑΡΩΓΟΥΣ ΑΥΤΟΣ ΕΠΕΜΨΕΝ·
Ὅς τις καταπονευομένοις βοηθοὺς αὐτὸς ἀπέσταλεν.
ΗΛΘΟΝ Δ'ΕΞΑΙΦΝΗΣ ΝΩΤΑΚΜΟΝΕΣ, ΑΓΚΥΛΟΧΗΛΑΙ,
Ἀφίκοντο γὰρ αἰφνιδίως τινὲς νῶτα ἔχοντες ὅμοια ἄκμοσι καὶ καμπύλους ὄνυχας,
ΛΟΞΟΒΑΤΑΙ, ΣΤΡΕΒΛΟΙ, ΨΑΛΙΔΟΣΤΟΜΟΙ, ΟΣΤΡΑΚΟΔΕΡΜΟΙ,
Πλαγίως πορευόμενοι, σκολιοὶ, ψαλιδόστομοι, καὶ ἔχοντες δέρματα στερεὰ καὶ ὀστρακώδη
ΟΣΤΟΦΥΕΙΣ, ΠΛΑΤΥΝΩΤΟΙ, ΑΠΟΣΤΙΛΒΟΝΤΕΣ ΕΝ ΩΜΟΙΣ,
Ὀστώδεις τὸ ὅλον σῶμα· εὐρεῖς τὰ νῶτα μαρμαίροντες ἐν τοῖς ὤμοις
ΒΛΑΙΣΣΟΙ, ΧΕΙΡΟΤΕΝΟΝΤΕΣ, ΑΠΟ ΣΤΕΡΝΩΝ ΕΣΟΡΩΝΤΕΣ,
Στρεβλόποδες· χεῖρας ἐκτεταμένας ἔχοντες, ἀπὸ τοῦ στήθους ὁρῶντες·
ΟΚΤΑΠΟΔΕΣ, ΔΙΚΑΡΗΝΕΣ, ΑΧΕΙΡΕΕΣ, ΟΙ ΔΕ ΚΑΛΕΥΝΤΑΙ
Ὀκτὼ πόδας ἔχοντες, δύο κεφαλὰς, πολλὰς χεῖρας· οὗτοι δὲ ὀνομάζονται
ΚΑΡΚΙΝΟΙ. ΟΙ ΡΑ ΜΥΩΝ ΟΥΡΑΣ ΣΤΟΜΑΤΕΣΣΙΝ ΕΚΟΠΤΟΝ,
Καρκῖνοι· οἳ δὴ τὰς οὐρὰς τῶν μυῶν ἔτεμνον τοῖς στόμασιν,
ΗΔΕ ΠΟΔΑΣ ΚΑΙ ΧΕΙΡΑΣ, ΑΝΕΓΝΑΜΠΤΟΝΤΟ ΔΕ ΛΟΓΧΑΙ.
Καὶ τοὺς πόδας καὶ τὰς χεῖρας, ἐκάμπτοντο δὲ καὶ κατερρήγνυντο τὰ δόρατα
ΤΟΥΣ Δ'ΥΠΕΔΕΙΣΑΝ ΠΑΝΤΕΣ, ΟΥΔ'ΕΤ'ΕΜΕΙΝΑΝ
Τούτους δὲ ἐφοβήθησαν ἅπαντες οἱ μῦες, οὐδ' ἔτι παρέμειναν,
ΕΣ ΔΕ ΦΥΓΗΝ ΕΤΡΑΠΟΝΤΟ. ΕΔΥΕΤΟ Δ'ΗΛΙΟΣ ΗΔΗ,
Εἰς φυγὴν δὲ ἐτράπησαν· ὁ ἥλιος δὲ ἤδη ἔδυνεν·
ΚΑΙ ΠΟΛΕΜΟΥ ΤΕΛΕΤΗ ΜΟΝΟΗΜΕΡΟΣ ΕΞΕΤΕΛΕΣΘΗ.
Καὶ τὸ τοῦ πολέμου τέλος ἐς μίαν ἡμέραν ἐτελευτιουργήθη.